σημαίνει ᾠδὴν τοῦ ψαλμοῦ· χορείαν γὰρ δηλοῖ τὸ τοῦ μαλὲθ ὄνομα. καὶ τὸ 'ὑπὲρ Ἰδιθοὺμ' τὸ αὐτό ἐστι τῷ 'ὑπὲρ τῶν υἱῶν Κορέ'· εἷς γὰρ καὶ ὁ Ἰδιθοὺμ τῶν ἱεροψαλτῶν. τὸ δὲ 'ὑπὲρ τῶν ἀλλοιωθησομένων' περὶ παντός ἐστι τοῦ ἀνθρωπείου γέ- 45 νους τοῦ δεξαμένου τὴν κρείττω ἀλλοίωσιν ἐν τῷ τῆς οἰκονομίας καιρῷ.

Τῶν δὲ λοιπῶν ἐπιγραμμάτων τὰ μὲν τὰ ὀνόματα ἔχει τῶν ποιουμένων τὰς ᾠδὰς τῶν ψαλμῶν, τὰ δὲ τὰς κατὰ καιροὺς ἱστορίας δηλοῖ, ὁπόσα ἢ αὐτὸς πέπονθεν ὁ Δαυὶδ ἢ δι' αὐτὸν 50 γεγένηνται ἢ περὶ αὐτόν. αἱ δὲ περὶ τῶν 'ἀναβαθμῶν' ἐπιγραφαὶ τὴν ἀπὸ τῶν αἰχμαλωσιῶν ἐπάνοδον δηλοῦσι τοῦ Ἰσραήλ, ἢ τὰς διαφόρους ἀνόδους καὶ καταστάσεις τῶν ἀρετῶν ἢ τῶν θεωριῶν. οἱ δὲ ὕμνοι καὶ αἱ ᾠδαὶ καὶ αἱ προσευχαὶ τὴν διάφορον ἀπαγγελίαν τῶν ψαλμῶν διασημαίνουσιν· οἱ 55 μὲν γὰρ ἐμεμελῴδηντο, οἱ δὲ εἰς εὐχὰς διεσχηματίζοντο, οἱ δὲ ἁπλῶς ἐξυμνοῦντο θεῷ.

Ἔνιοι δὲ τῶν ψαλμῶν ἀνεπίγραφοί εἰσιν· οὗτοι δέ εἰσιν οἱ καθαρῶς προαναφωνοῦντες τοῦ κυρίου τὴν σάρκωσιν, ὧν τὰς ἐπιγραφὰς ὡς σαφῶς δηλούσας τὸν σαρκωθησόμενον λόγον 60 ἐξεῖλον οἱ τῶν Ἰουδαίων δευτερωταὶ ἤτοι ἐξηγηταί, βασκάνως διαθεσμοθετήσαντες τοὺς ψαλμούς.

42–43 Psell. Poem.1,143 || **43** Ἰδιθοὺμ] Ps. 38 || **43–44** cf. Psell. Poem. 1,109–111; supra 1,194–195 || **44–45** Ps. 59 || **45–47** cf. supra 1,268–271 || **51–54** cf. Psell. Poem. 1,247–248; 252; 254–256

43 καὶ] ὡς καὶ **P** | τῷ **P**: τὸ **L**: τὸ ὑπὲρ γῆν τὸ **O** || **44** καὶ om. **P** || **51** περὶ[2] om. **P** || **52** τὴν] τοῦ **O** | τοῦ] τῷ **O** || **55** ἐπαγγελίαν **P** || **56** ἐμελῴδηντο **P** || **60** λόγον] fol. particula amissa non leg. **P** || **61** δευτερωτικοὶ **P** | ἐξηγητικοὶ **P**

3

Τοῦ ὑπερτίμου καὶ ὑπάτου τῶν φιλοσόφων κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ ἀπόδειξις ἀπὸ διαφόρων λόγων τῆς τοῦ κυρίου ἐνσωματώσεως. ἐστάλη πρὸς τὸν σουλτᾶνον ἀπὸ τοῦ βασιλέως

Ἐν πολλοῖς μὲν καὶ ἄλλοις, μεγαλοδοξότατε φίλε, κατανε-
5 νόηκά σου τῆς ψυχῆς τὴν εὐγένειαν καὶ τὴν μεγαλουργίαν
αὐτῆς καὶ ὅτι πρὸ πάντων φιλίαν τιμᾷς, τὴν πρωτίστην τῶν
ἀρετῶν καὶ δι' ἧς θεῷ συναπτόμεθα. ἓν δέ σου τῶν πάντων
ἐξαί[ρετον], καὶ οὐκ ἔχω θαυμάζειν ἀξίως, ὅτι καίτοι διῃρη-
μένος ἡμῶν κατὰ τὸν τῆς πίστεως λόγον καὶ ἕτερον σέβας
10 προβιβ[άζων] οὐ τὸ τῶν πολλῶν πέπονθας, οὐδὲ τὴν οἰκείαν
δόξαν ἀποσεμνύνων τῆς ἡμετέρας καταπεφρόνηκας, ἀ[λλὰ]
καὶ ἀκριβῶς τὸν καθηγεμόνα τοῦ καθ' ὑμᾶς μιμησάμενος λό-
γου, ὥσπερ δὴ ἐκεῖνος πολλαχοῦ ἐξαίρει ἐν τοῖς α[ὐτοῦ] συγ-
γράμμασι τὸν ἡμέτερον Ἰησοῦν καὶ θεὸν καὶ πνεῦμα θεῖον
15 τοῦτον ἀποκαλεῖ καὶ φύσιν ἐξῃρημένην καὶ κρείττονα, ο[ὕτω]
καὶ αὐτὸς μέγα τι καὶ ἀπόρρητον ἐν ἐκείνῳ κατανοήσας ἀρί-
στην καὶ συνετωτάτην ἐβουλεύσω βουλὴν καὶ πρᾶγμά τι
[πε]ποίηκας, ὥσπερ δὴ παρὰ τοῦ ἡμετέρου πρέσβεως ἐδιδάχ-
θημεν, τῶν πάντων ὀνομαστότατον καὶ ὅπερ δὴ καὶ μόνον
20 ἀκουσθὲν ἀνὰ πᾶσαν γῆν τε καὶ θάλασσαν καὶ καθ' ὅλης
τῆς οἰκουμένης, εἰπεῖν δὲ καὶ ἀοικήτου, τὴν σὴν μεγαλοφρο-
σύνην κηρύξει λαμπρότατα.

Οὐ γὰρ ἀπορριζῶσαι δεῖν ᾠήθης τὴν ἡμετέραν πρὸς τὸ
θεῖον εὐσέβειαν καὶ ἀλλοτριῶσαι τῆς σῆς μεγίστης ἡγεμο-
25 νίας· μᾶλλον μὲν οὖν καταφυτεῦσαι ταύτην προείλου καὶ
περικαθᾶραι κύκλωθεν καὶ περιχαρακῶσαι, ἵν' ὁμοῦ πίων καὶ
εὐθαλὴς γένοιτο καὶ 'εὐκληματοῦσα' ἀκριβῶς 'ἄμπελος'. μὴ

27 Osee 10,1

3 P 317r–319v || ed. Gautier 80–97 (cui, nisi secus indicatur, debentur supplementa) || **8** suppl. Wk. || **10** suppl. Du.

οὖν ἀθεεὶ τοῦτό σοι πεπρᾶχθαι ἡγήσῃ μηδ' ἄνευ τῆς κρείττονος μοίρας τε καὶ δυνάμεως. φιλόθεον γάρ, ὡς εἰκός, ἔχων ψυχὴν καὶ πάντοθεν ἀναζητῶν τὰς ἀκριβεῖς ὑπολήψεις τοῦ 30 κρείττονος ἐπεσπάσω τινὰ δύναμιν ἄνωθεν, ἥτις σε πρὸς τὸ καλὸν τοῦτο διήγειρε δυναμώσασα. λέγει γάρ τις τῶν καθ' ἡμᾶς θεολόγων, ὅτι τὸ θεῖον καὶ ἅγιον πνεῦμα ἐν πᾶσίν ἐστι καὶ ὁπηνίκα ἴδῃ γενναίαν ψυχὴν καὶ ἄνω βλέπειν δεδυνημένην, ἐφαπλοῖ ταύτῃ τὰς νοητὰς ἀκτῖνας καὶ τῆς λαμπροτά- 35 της ἐμπίπλησι γνώσεως, δι' ἧς τὰ κρείττω φαντάζεσθαι δεδυνήμεθα.

Οἱ μὲν οὖν πολλοὶ τῶν ἀλλοτρίων τῆς καθ' ἡμᾶς πίστεως, ἅτε μὴ δυνηθέντες κατανοεῖν τὸ ἀπόρρητον τῆς τοῦ θεοῦ οἰκονομίας μυστήριον μηδ' ἀτρεμέσιν ὄμμασιν ἀτενίζειν τῷ με- 40 γάλῳ φωτί, ἐπειδὰν ἀκούσωσιν ὅτι 'ὁ ἐπιβεβηκὼς θεὸς ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς', κατὰ τὰς ἡμετέρας φάναι γραφάς, οὗ τὸ κράτος ἀσύγκριτον καὶ ἡ δύναμις ἀπαράμιλλος, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τὴν ἡμετέραν προσελάβετο φύσιν καὶ ἄνθρωπος γέγονε, μείνας ὅπερ ἦν καὶ γε- 45 νόμενος ὅπερ οὐκ ἦν δι' ὑπερβολὴν ἀγαθότητος, {ἢ} δι' ἀσθένειαν φύσεως καὶ δι' ἀμαθίαν τῆς κρείττονος γνώσεως "πλατὺν" ⟨τὸ⟩ τοῦ λόγου "καταχέουσι γέλωτα", ὃ γνῶναι οὐκ ἠδυνήθησαν, τοῦτο ἀμαθῶς διαπαίξαντες. ἀλλ' οὐ σὺ τοιοῦτος (πολλοῦ γε καὶ δεῖ), ἀλλ' ὥσπερ ἐκείνων διαφέρεις τῷ τε τῶν 50 χειρῶν δραστηρίῳ καὶ τοῖς γενναίοις βουλεύμασι καὶ τοῖς κατὰ πόλεμον ἀγωνίσμασιν, οὕτω δὴ πολλῷ προέχεις καὶ τοῖς πρὸς τὰ κρείττω σεβάσμασι. καὶ καθάπερ αὐτὸς εἰκάζω, τὴν μὲν πάτριον δόξαν καὶ τὰ τοῦ σεβάσματος νόμιμα ἄνωθεν καὶ ἐκ πατέρων παραλαβὼν ὥσπερ τινὰ κλῆρον διαφυλάττεις 55 ἀκέραιον, θαυμάζειν δὲ ἔοικας καὶ τὸ ἀπόρρητον τῆς ἡμετέρας δόξης μυστήριον καὶ ἀναβεβηκὼς τὴν διάνοιαν ἀμυδρῶς

32–33 quis? ‖ **41–42** Ps. 67,34 ‖ **47–48** e.g. Basil. Hexaem. hom. 1,4; cf. Comic. Attic. Frag. (ed. Kock), fr. 266

46 del. Wk. ‖ **48** τὸ add. Gautier

πως περιαυγάζῃ τὴν τοῦ θεοῦ πρὸς ἡμᾶς συγκατάβασιν. καὶ
οὐ θαυμαστόν, εἰ μὴ τὸ ὅλον δι' ὅλου τὴν ἐπιστήμην τῆς ἡμε-
60 τέρας διέγνωκας πίστεως, οὐδὲ τοῦτο καινόν, ὅτι μὴ τὸ πά-
τριον καταλιπὼν σέβας ἐπὶ τὴν ἡμετέραν δόξαν ἐλήλυθας·
ἀλλ' ἐκεῖνο ἐκπλήξεως ἄξιον, ὅτι τῶν ἄλλων, φημὶ δὴ τῶν τοῦ
καθ' ἡμᾶς δόγματος ἀλλοτρίων, ἀμεταστρόφων ὄντων πάντῃ
πρὸς τὰ ἡμέτερα, αὐτὸς ὀξύτερόν τι εἶδες ἐκείνων καὶ ζῆλόν
65 τινα θεῖον ἐν τῇ ψυχῇ ἔσχηκας καί, εἰ μὴ ἀκριβῶς τὸν ἡμέτε-
ρον λόγον τετίμηκας, ἀλλά γε οὐκ ἠτίμησας οὐδὲ καταπεφρό-
νηκας, ἀλλὰ καὶ τοὺς λογάδας τῆς ἡμετέρας πίστεως αἰνέ-
σεως καὶ παρρησίας ἠξίωσας καὶ τοῖς αὐτόθι ἱδρυμένοις ναοῖς
οὐκ ἔσεισας τοὺς θεμελίους, ἀλλ' ὑπεστήριξας.
70 Εἶτα δὴ καὶ ἅμιλλαν θαυμασίαν πεποίησαι τὸν ἡμέτερον
πρέσβιν τοῖς σοῖς ἀντιστατήσας σοφοῖς καὶ στήσας λογικὸν
θέατρον καὶ λόγῳ μὲν λόγον, διανοίᾳ δὲ παρεξετάσας διά-
νοιαν καὶ δόγμα δόγματι καὶ σέβας σεβάσματι, κἀντεῦθεν
τὴν ἡμετέραν πίστιν καταιδεσθεὶς καὶ παρρησιάζεσθαι ταύ-
75 την ἐπὶ τοῖς ὁρίοις τῆς σῆς ἡγεμονίας πεποιηκώς. τοῦτο γάρ,
μεγαλοδοξότατε φίλε, εἰ καὶ μὴ τελεία ἐστὶ πρὸς τὸν ἀληθι-
νὸν λόγον προσχώρησις, ἀλλ' ἀρχή τις εὐπρεπεστάτη καὶ
ἀπολογία καλλίστη πρὸς τὸν θεόν, ὅτι ὃν οὔπω διὰ τῶν καθ'
ἡμᾶς ἱερῶν λογίων μεμύησαι, Μωσαϊκῶν φημι καὶ προφητι-
80 κῶν, τοῦτον οἴκοθεν καὶ παρὰ τῆς οἰκείας συνέσεως, εἰ καὶ
μὴ τελείως, ἀλλά γε ὅσον εἰκὸς ἔγνωκας καὶ αἰδοῦς τι προσ-
ένειμας, τοῦ μὲν πατρῴου μὴ ὑπαναχωρήσας σεβάσματος,
ἐκεῖνον δὲ ἐν ἀπορρήτοις τεθαυμακώς.
Ἔγωγ' οὖν ὁ πρὸς τὴν σὴν ψυχὴν ἀνακεκραμένος διὰ φι-
85 λίας καὶ ἐκ τοῦ αὐτοῦ σοι κρατῆρος τῶν τῆς ὁμονοίας σπον-
δῶν πεπωκὼς καὶ ἀπὸ τῆς αὐτῆς ὡσανεὶ ⟨τραπέζης⟩ σιτισά-
μενος, θείῳ πρὸς σὲ ἀνήφθην πυρὶ καὶ διαπέφλεγμαι ἐπὶ σοὶ
τὴν καρδίαν. εἴ πως ἐνῆν, αὐτὰς ἂν σοι τὰς οὐρανίους δέλ-
τους ἀνέῳξα καὶ ἀπεκάλυψά σοι τὰ τοῦ καθ' ἡμᾶς μυστη-
90 ρίου κρύφια καὶ ἀπόρρητα· μέγας γὰρ ὁ τῆς ἡμετέρας πί-

84 ἀνακεκραμμένος **P**

στεως λόγος καὶ οὔτε ὀφθαλμοῖς μὴ ἀκριβῶς ὁρῶσι θεατὸς οὔτε ὠσὶν ἀπροσέκτοις ἀκουστὸς οὔτε καρδίᾳ μὴ ἐχούσῃ βάθος χωρητός, ἀλλ' οὐδὲ γλώττῃ μὴ χαλιναγωγουμένῃ νῷ καὶ πνεύματι λαλητός. ἐπεὶ δὲ τὸ ἀνοίγειν οὐρανοὺς καὶ αὖθις ἐπισφραγίζειν καὶ ἄνω[θεν] ἐπιχορηγεῖν τὰ θεοπαράδοτα λό- 95 για οὐ τῆς ἡμετέρας τυγχάνει δυνάμεως, ἀλλὰ τῆς Μωσαϊκῆς, ἥτις καὶ δόγματα θεῖα ἐκ τοῦ Σιναίου ὄρους κατήνεγκε καὶ τὸν ἔτι νήπιον Ἰσραὴλ τοῖς στοιχειώδεσι νόμοις ἐπαιδαγώγησε, παραχωρήσασα τῷ μέλλοντι σωματωθῆναι θεῷ τῶν ὑψηλοτέρων διδαγμάτων καὶ τῆς κρείττονος γνώσεως, ὃ δὴ 100 τῇ ἐμῇ ἐπιβάλλει ψυχῇ καὶ τῆς ἐμῆς πέφυκε γνώμης τε καὶ δυνάμεως, τοῦτο δή σοι προσενεγκεῖν προτεθύμημαι, δῶρον ὧν ἔχω τὸ κάλλιστον καὶ οὗ μηδὲν τῶν πάντων ἀντάξιον, οὐδ' ἂν εἴπῃς τὴν κτίσιν σύμπασαν, ὅση τε ὁρατὴ καὶ ὅση ἀόρατος. 105

Τί δὲ τοῦτό ἐστιν; ἐξελεξάμην σοι ἀπὸ τῶν ἡμετέρων βιβλίων, φημὶ δὴ τῶν Μωσαϊκῶν καὶ προφητικῶν καὶ τῶν Δαυιτικῶν ᾠδῶν ὕμνων τε καὶ ψαλμῶν ὁπόσα λαμπρῶς τε καὶ καθαρῶς τὴν τοῦ λόγου πρὸς ἡμᾶς διὰ σώματος ἐπιδημίαν κηρύττουσι, καὶ ὅπως ὧν πέπονθεν ἕκαστα κατὰ μέρος ἐν ταῖς 110 ἑαυτῶν προφητείαις οἱ θαυμάσιοι οὗτοι κήρυκες προειρήκασιν. ὥσπερ γὰρ αὐτὴν τὴν ἀνθρωπικὴν τοῦ θεοῦ αἰσθητοῖς ὀφθαλμοῖς ὁρῶντες γέννησιν, τὴν ἐξ ἀνατολῆς πρὸς αὐτὸν τῶν Περσῶν ἄφιξιν, τὴν τῶν σπαργάνων διαπλοκήν, τὴν εἰς Αἴγυπτον κ[άθ]οδον, τὴν ἐκεῖθεν ἐπάνοδον, τὴν ἀναγωγήν, 115 τὴν τῆς ἡλικίας προκοπήν τε καὶ αὔξησιν, τὴν τῶν θαυμάτων ἐπίδειξιν, τὴν τοῦ μαθητοῦ [προ]δοσίαν, ἵνα συντεμὼν εἴπω, τὸν σταυρόν, τὴν ταφήν, τὴν ἀνάστασιν, τὴν εἰς οὐρανοὺς ἄνοδον, οὕτως ἀπλανῶς ἅπαντα καὶ ἀ[....]ως διηγήσαντο, συναΐδιον μὲν αὐτὸν καὶ προαιώνιον τῷ πατρὶ φάμενοι, ἐπὶ 120 δὲ τῷ τέλει τῶν αἰώνων τὴν ἡμετέραν εὐ[δ]οκήσαντα σωτηρίαν καὶ διὰ προσλήψεως ἐψυχωμένης σαρκὸς τὴν μεθ' ἡμῶν ἑλόμενον διατριβὴν καὶ τῷ καθ' ἡμᾶς βίῳ ἐγχωριάσαντα καὶ

115 suppl. Wk. ‖ **119** ἀπταίστως coni. Wk.

ὑπὲρ ἡμῶν κατὰ τοῦ διαβόλου παραταξάμενον καὶ ἀντιταξά-
125 μενον καὶ τὸ μέγα πεποιηκότα τρόπαιον καὶ κατόρθωμα· τί
ποτε τοῦτο; [τὸν] μὲν αἰχμαλωτεύσαντα τὴν ἡμετέραν φύσιν
διὰ παρακοῆς ἀνελόντα, ἡμᾶς δὲ τῆς αἰχμαλωσίας ἐπαναγα-
γόντα καὶ πρὸς τὴν πρώτην τιμὴν ἀποκαταστήσαντα, ἢ μᾶλ-
λον πρὸς ὑψηλοτέραν καὶ μείζονα. ἐχρῆν γὰρ ὡς ἀληθῶς τὸν
130 πλάστην καὶ κηδεμόνα τῆς ἡμετέρας φύσεως τὸν ὑπὲρ ἡμῶν
πόλεμον ἄρασθαι καὶ φιλανθρωπίας ὑπερβολῇ τὴν ἡμετέραν
οὐσίαν ἐνδύσασθαι καὶ δυναμῶσαι ταύτην καὶ οἷον [στο]μῶ-
σαι τῷ θείῳ πυρὶ τῆς θεότητος καὶ ἀνθρωπικῶς ἅμα καὶ θεϊ-
κῶς κατατροπώσασθαι τὸν ἐχθρὸν καὶ ἐν ὑποδείγματι καὶ
135 ἡμ[ῖν] στῆναι τῆς πρὸς αὐτὸν προσβολῆς, καὶ δυνάμεως, με-
τόχοις γενομένοις τῆς ἐκείνου δυνάμεως καὶ ἀφομοιωθεῖσιν
αὐτῷ κατὰ τὸ δυνατὸν καὶ τοῦ θείου τετυχηκόσιν ὀνόματος.
Μὴ τοίνυν, μεγαλοδοξότατε φίλε, τὴν τῆς φιλανθρωπίας
ὑπερβολὴν ἀσθενείας [.....] [ὑ]περοχήν, μηδὲ τὸ τοῦ μυστη-
140 ρίου ἀπόρρητον ὥσπερ σοι δραματούργημα νομισθείη καὶ τὸ
τῆς ἀληθείας ὑπέρλαμπρον εἰς [......]γίας σε σκότος καταβι-
βάσειεν, ὅπερ δὴ πολλοὶ τῶν ἔξω τοῦ ἡμετέρου πεπόνθασι
δόγματος. τὸ μὲν γὰρ τοῦ ἡλίου μέγεθος οὐκ ἄν ποτε καθ'
αὑτὸ κοτύλῃ χωρηθείη χειρός, ἀπειροπλάσιον, ὥς φασι, καὶ
145 αὐτῆς τυγχάνον τῆς οἰκουμένης· πῶς γὰρ ἀπροαίρε[τον
πρᾶγ]μα καὶ ἄψυχον ἐν ἐλάττονι ἐμπέσοι χωρήματι; ὁ δέ γε
θεὸς ὑπερούσιον μὲν πρᾶγμα καὶ ὑπέρζωον καὶ ὑπέρνουν καὶ
ἀχώρητον πᾶσι κτίσμασι καὶ πάσαις φύσεσι καὶ ἀκατανόητον
καὶ ἀνεξιχνίαστον, ἅτε παντοδύναμον, καὶ τοῦτο δυνάμενον,
150 ἐν ἡμῖν τε χωρηθῆναι καὶ ταῖς δεχομέναις αὐτὸ ψυχαῖς ἐνοι-
κεῖν καὶ ἐμπεριπατεῖν. εἰ μὲν γὰρ συνεστέλλετο ἡ οὐσία αὐ-

143–145 cf. Plutarch. Moral. 410E || **146–147** Procl. Elem. 115 || **148–149** cf. Chrysost. De incompreh. dei nat. 3 PG 48, 720A || **150–151** 2 Cor. 6,16

132 suppl. Wk. || **135** suppl. Wk. || **139** πίστευε coni. Wk., νόμισον Gautier || **141** fort. ψευδολογίας (Wk.) vel ἀντιλογίας (Papaioannou) || **150** ψυχαῖς] ευχαῖς vel sim. P, corr. Gautier

τοῦ ἐν ἡμῖν χ[ωρηθεῖ]σα ἢ ἀπεμειοῦτό τι τῆς φύσεως πρὸς τὴν ἀναλογίαν τῶν ὑποδεχομένων ψυχῶν, δίκαιον ἂν ἐπτοοῦ φόβον, μὴ γενόμενος ἄνθρωπος καὶ ἐν μήτρᾳ [......]ρηθεὶς καὶ ἀνθρωπίνῳ περιγραφεὶς σώματι ἠλάττωκέ τι τῆς θείας 155 οὐσίας καὶ κενὸν ἀφῆκε τὸν οὐρανόν. ἐπεὶ δὲ ἐν [ἅπασι] καὶ ὑπὲρ ἅπαντα ὅλος ἐν ὅλοις ἐστὶ καὶ ὅλος ἐν μέρεσι καὶ οὐδὲν τῶν πάντων ἐκτὸς ἑαυτοῦ ἀφίησι, τί σε δεδίττεται τὸ σῶμα ὃ προσελάβετο ὡς περιγράφον αὐτοῦ τὴν οὐσίαν καὶ ἀποσμικρῦνον, καὶ διὰ τί περὶ τὰ μεγάλα σμικρολογεῖς, μέγας ὡς 160 ἀληθῶς τῷ φρονήματι; οὐσιώθη μὲν γὰρ ὡς ἀληθῶς τῇ καθ' ἡμᾶς φύσει καὶ γέγονε τέλειος ἄνθρωπος οὐσίᾳ, οὐ φαντασίᾳ, μεμένηκε δὲ καὶ ὅλος παρὰ τῷ πατρί, καὶ καταβὰς ἢ συγκαταβὰς μέχρις ἡμῶν οὔτε τὸν οὐρανὸν ἔρημον τῆς οἰκείας ἀφῆκεν οὐσίας οὔτε τὴν σύμπασαν κτίσιν, ἀλλ' ἦν ὁ 165 αὐτὸς καὶ ἐν τῷ προσλήμματι ὅλος καὶ ἐν τοῖς πατρῴοις κόλποις καὶ ἐν τῷ οὐρανῷ καὶ ὑπὲρ τὸν οὐρανὸν καὶ ἐν πᾶσι καὶ ὑπὲρ πάντα.

Καὶ πιστούτω σοι ταῦτα ὁ ἡμέτερος νοῦς, ὃς τὸ κράτιστον ὢν τῆς ψυχῆς μέρος ἐν ἡμῖν τέ ἐστι καὶ ἁπανταχοῦ· τὸ δὲ 170 διάφορον τοσοῦτον, ὅτι ὁ μὲν ⟨..........⟩ πέφυκεν, ὁ δέ γε τοῦ μεγάλου πατρὸς υἱὸς καὶ θεὸς ἄντικρυς τὴν οὐσίαν ἔχει πανταχοῦ χωρητὴν ὁμοῦ καὶ ἀχώρητον, τὸ μὲν τῇ συγκαταβάσει καὶ τῇ καθηκούσῃ πρὸς αὐτὸν ὁμοιότητι, τὸ δὲ τῇ ἀσυγκρίτῳ [τῆς] φύσεως ὑπεροχῇ. 175

Ἀλλὰ ταῦτα μὲν μακροτέρου ἂν εἴη λόγου καὶ ὑψηλοτέρου καὶ πόρρω τῆς προθέσεως, ἣν δή σοι ἐνδείκνυσθαι προειλόμεθα· ὁ δέ γε λόγος πληρούτω τὴν ἐπαγγελίαν καὶ τὰς προφητικάς σοι βίβλους παρεξεταζέτω καὶ δεικνύτω, ὅτι τὸ μὲν τῆς ἐνανθρωπήσεως τοῦ λόγου ἔργον οὐ πάνυ ἀρχαιότατον, 180 ἡ δὲ βουλὴ τοῦ πατρὸς περὶ τῆς τοιαύτης εὐδοκίας ἀΐδιός τε καὶ προαιώνιος, ἧς αὐτάγγελος ἐγεγόνει ὁ υἱός. βραχὺ δέ τί σοι προειρηκὼς ἐπ' αὐτὸ καὶ δὴ βαδιοῦμαί σοι τὸ ἐπάγγελμα.

Τί δὲ τοῦτό ἐστιν, ὃ μέλλω ἐρεῖν; διττός ἐστιν ὁ λόγος τῆς

152 suppl. Wk. || **171** lac. indic. Wk.

185 ἀποδείξεως τοῦ ἡμετέρου σεβάσματος, ὁ μὲν κεκρυμμένος
καὶ ἀπόρρητος ὡς εἰπεῖν τοῖς πολλοῖς, ὁ δὲ προβεβλημένος
καὶ τοῖς πᾶσι τηλεφανὴς ὡς ἐρεῖν. καὶ ὁ μὲν ταῖς κεκαθαρμέ-
ναις ἀθρόον ἀναλάμπει ψυχαῖς ὥσπερ ἡλιακὸν φῶς, τὴν πή-
ρωσιν ἀποβαλομέναις τῆς φύσεως, καὶ ἔφθασάν γε τῶν καθ'
190 ἡμᾶς θεολόγων ἔνιοι εἰς τὸ τοιοῦτον μέτρον τῆς τελειώσεως
καὶ γέγονεν αὐτοῖς οὐχ ὁ προφητικὸς λόγος τῆς οἰκονομίας
διδάσκαλος, ἀλλ' ὁ ὑπερούσιος τοῦ θείου μυστηρίου καθηγε-
μών, καὶ ἵνα σοι τὸ φρικωδέστατον εἴπω, καὶ ἀνηρπάγησάν
τινες τῆς καθ' ἡμᾶς οἰκουμένης καὶ μέχρι τοῦ ἐνδοτέρου ἐπ-
195 τερώθησαν οὐρανοῦ καὶ τά τε ἀθέατα τεθέανται καὶ αὐτή-
κοοι τῶν ἀρρήτων γεγόνασι καὶ ἀτρεμέσι νοὸς ὀφθαλμοῖς αὐ-
τὸν σεσωματωμένον τὸν Ἰησοῦν ἑωράκασι καὶ τῆς θείας ἐκεῖ-
θεν αἴγλης κατηξιώθησαν.

Καὶ ὁ μὲν κρύφιος τῆς ἀποδείξεως λόγος οὗτος, ὃν οὔτε
200 θεμιτὸν ἀναπτῦξαί σου τῇ ψυχῇ ἴσως οὐδὲ χωρητόν, καὶ
τοῦτο τυπικῶς ἐδήλου τὸ ἱλαστήριον σεραφικαῖς καλυπτόμε-
νον πτέρυξιν. ὁ δέ γε διωμαλισμένος τε καὶ σύντομος ἀπὸ
τῶν προφητικῶν λόγων καὶ Μωσαϊκῶν βιβλίων τὸ ἰσχυρὸν
ἔχει καὶ ἀναντίρρητον· οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλ' ἵνα καὶ
205 τὸ παράδοξον εἴπω, ὅτι καὶ τῶν παρ' Ἕλλησι λογίων ἔνιοι, οἱ
φιλοσοφώτεροι καὶ ἀκριβέστεροι, τὴν πρὸς ἡμᾶς ἐπιδημίαν
τοῦ λόγου καὶ τὴν ⟨τῆς⟩ τριάδος αἴγλην προεγνώκασί τε καὶ
προειρήκασι καὶ ἐν μικροῖς τισι συμβόλοις καὶ τὴν ἀπόρρητον
τῆς θεολογίας γνῶσιν ὅσον εἰκὸς ἐφαντάσθησαν, πολλοὶ δὲ
210 καὶ ἐνθουσιασμοῦ πληρωθέντες θεὸν τὸν σαρκωθέντα λόγον
εἰρήκασι· καὶ τὸ θῆλυ δέ, προφητικοῦ πληρωθεῖσαι ἔνιαι
πνεύματος, τὸ ἐσόμενον ἐχρησμολόγησαν τοῦ λόγου μυστή-
ριον· καὶ τὰ παρ' Ἕλλησι δὲ χρηστήρια, ὁπόσα ἐν Δελφοῖς ἢ
ἐν Δωδώνῃ ἢ ἀλλαχόσε ἵδρυντο, θεὸν τὸν σαρκωθέντα λόγον
215 ἀνωμολόγησαν, καὶ τούτων πλήρεις αἱ περὶ αὐτοῦ ἱστορίαι

193–196 cf. 2 Cor. 12,2–4?

189 ἀποβαλλομέναις **P**, corr. Gautier ‖ **207** τῆς Wk.

καὶ πολὺς λόγος ἐν τοῖς περὶ τούτων συγγράμμασιν. ἔγωγ' οὖν δι' εὔνοιαν τὴν πρὸς σὲ καὶ ἀπὸ τούτων ἔνια τοῖς προφητικοῖς λόγοις συνήθροισα καὶ συγκατέταξα, ἵνα ἔχοις καὶ γνῶναι καὶ παρὰ τῶν ἀλλοτρίων τοῦ καθ' ἡμᾶς λόγου τοῦ ἡμετέρου μυστηρίου τὴν δύναμιν. 220

Καὶ οὔπω λέγω τὰ μείζω καὶ τελεώτερα καὶ ὧν ὀφθαλμοὶ μάρτυρες. τίνα ταῦτα; τῶν τοῦ Χριστοῦ μαρτύρων τὰ θαύματα, τὰ ἔμψυχα τούτων ἀγάλματα, τὰ ἀείζωα τούτων σώματα, ὧν τὰ μὲν πηγὰς ἀειρρύτους ἐκβλύζουσι, τὰ δὲ ἀνθοῦσι θριξί, τὰ δὲ ἀφιᾶσι φωνὴν ἄρρητον τοῖς πολλοῖς, τὰ δὲ 225 ἤχων μυστικῶν τὰ τεμένη πληροῦσι, καὶ τὰ μὲν δαίμονας φυγαδεύουσι, τὰ δὲ νοσημάτων τυγχάνει ἀλεξητήρια, οὐκ ἐπαφώμενα μόνον, ἀλλὰ καὶ πόρρωθεν προσκαλούμενα.

Ἐπιλείψει με ἡ ἡμέρα ταῦτα διηγούμενον καὶ ὁπόσα ὁ θεῖος λόγος τεθαυματούργηκε τὴν ἡμετέραν οἰκονομίαν πλη- 230 ρῶν. ἐκ δυοῖν γὰρ συγκείμενος φύσεων, θείας καὶ ἀνθρωπίνης φημί, ἐξ ἑκατέρας τὸ ἔργον ἐγνώριζε τῆς ἑνώσεως, τῇ μὲν ταπεινοτέρᾳ καὶ ἀνθρωπί[νῃ] πῇ μὲν ἱδρῶτι πληρούμενος, πῇ δὲ προσερχόμενος τῷ πατρὶ ἀγωνιζόμενός τε καὶ ταπεινούμενος καὶ τοῖς ἀδιαβλήτοις τοῦ σώματος ὑποπίπτων παθήμασι, 235 τῇ δὲ θειοτέρᾳ καὶ κρείττονι νόσους ἰώμενος, νεκροῖς ἀνάστασιν χαριζόμενος, κατὰ [..........] δαίμοσιν ἐπιτάττων καὶ τἄλλα ποιῶν οἷς τὸ τῆς φύσεως ἐχαρακτηρίζετο παντοδύναμον. τούτου οὖν δὴ σταυρουμ[ένου] ἥλιος μὲν τὰς ἀκτῖνας συνέστειλε τὸν ποιητὴν καὶ πλάστην αἰδούμενος καὶ τὴν ἄρ- 240 ρητον πεφρικὼς συγκατάβασιν, ἐπὶ δὲ τοῦ τέλ[ους τὸ τοῦ] ναοῦ καταπέτασμα εἰς μέσον διέρρηκται καὶ ἀνεκαλύφθη τὰ ἄδυτα καὶ τῶν μνημάτων οὐκ ὀλίγοι τῶν ἐν [αὐτοῖς] ἀνέστησαν, τῆς μεγάλης ἀναστάσεως προσκιρτήσαντες καὶ οἷον πί-

241–242 cf. Matth. 27,51; Luc. 23,45

234 fort. scr. προσευχόμενος | ἀγωνιζόμενος Wk.: ἀγόμενος **P** ‖ **237** κρημνοῦ ὁρμᾶν coni. Papaioannou (conferens Matt. 8,30–32); ἐξουσίαν καὶ τοῖς Wk. ‖ **241** Wk. ‖ **243** Wk.

245 δακές τινες τῆς ἀνακαλυφθησομένης ἐξ ᾅδου τοῦ λόγου πηγῆς προ[αλ]λόμενοι.

Τὸ μὲν τῆς ἐπιστολῆς μέτρον ἐντεῦθεν τετμήσθω, ἡ δὲ ἀπόδειξις τῶν προφητικῶν μαρτυριῶν τὴν ἀρχὴν ἐντεῦθεν ἐχέτω. [ἔ]στι τις τῶν παρ' ἡμῖν προφητῶν Δαυὶδ ὀνομαζόμε-
250 νος (τοῦτο δὲ τὸ ὄνομα κατὰ τὴν Ἑλλάδα γλῶσσαν ἑρμηνεύεται ὁ ἱκαν[ὸς] τ[ῇ χ]ειρί), χρῖσμα οὐ προφητείας μόνον, ἀλλὰ καὶ βασιλείας δεξάμενος· ὃς τοὺς προφητικοὺς λόγους ἐν μέτροις καὶ ῥυθμοῖς καὶ μουσικῇ ἁρμονίᾳ πεποιηκὼς καὶ κατὰ μέρος διελὼν ψαλμοὺς τούτους καὶ ᾠδὰς ὠνόμασεν.
255 ἔστι δὲ ἡμῖν ᾠδὴ τὸ ἄνευ ὀργάνου μουσικοῦ μελῳδούμενον μέλος, ὁ δὲ ψαλμὸς τὸ μετὰ συμφωνίας ὀργάνων εὐήχως μουσουργούμενον. οὗτος τοιγαροῦν ὁ προφήτης καὶ βασιλεὺς ὁ Δαυὶδ ἐν ἑνὶ τῶν αὐτοῦ ψαλμῶν σαφέστατα τὸν υἱὸν τοῦ θεοῦ ἀνακηρύττει ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἄνθρωπον γενη-
260 σόμενον καὶ ὑπὸ βασιλέων καὶ [ἐθνῶν] καὶ λαῶν ἐπιβουλευθησόμενον, ἅπερ ἤδη καὶ γέγονε· Χριστόν τε ὀνομαστὶ τοῦτον λέγει καὶ ἐξ αὐτοῦ τοῦ θεοῦ γενόμενον καὶ υἱόν τε ἀνθρώπου ἀ[ναγο]ρευόμενον ἐθνῶν τε καὶ περάτων γῆς κλῆρον λαμβάνοντα παρὰ τοῦ πατρός.

265 Ἔχει δὲ ὁ ψαλμὸς οὕτως αὐτολεξεί· πλὴν ἵνα μὴ π[ροσκορὲς] τὸ σύγγραμμα γένηται, τὰ ἐπικαιρότατα τῶν προφητικῶν λόγων διέξειμι, ἵν' εὐσύνοπτά σοι τὰ προφητευόμενα γένοιτο· λέ[γει] γοῦν ὁ ψαλμός, 'ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρ-
270 χοντες συνήχθησαν ἐπὶ τὸ αὐ[τὸ κατὰ] τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.' ὅρα τὴν δύναμιν τοῦ ψαλμοῦ καὶ τὴν τοῦ θεοῦ καὶ υἱοῦ τοῦ μεγάλου πατρὸς μεγαλειότητα· τὴν κατ' αὐτ[οῦ] ἐπ[ανά]στ[ασιν] παρὰ τῶν ἀρχόντων καὶ τῶν ἐθνῶν καὶ τῶν λαῶν ὡς ὕβριν καὶ ἐπ' αὐτὸν ἀναφέρει τὸν γε-
275 γεννηκότα. τί τοῦ λόγου δηλοῦντος; ὡς ὁ τὸν υἱὸν ἀτιμάζων

268–271 Ps. 2,1–2

251 Wk. ‖ **265** coni. Wk. ‖ **273** Wk.

ἢ μὴ προσιέμενος καὶ κατ' αὐτοῦ τοῦ πατρὸς τὴν ὕβριν ἐκχέει, κἂν δοκῇ τοῦτον σεμνολογεῖν καὶ οἰκειοῦσθαι τοῖς ῥή[μα]σι· 'κατὰ τοῦ κυρίου' γάρ φησι 'καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ'. πρώτως γοῦν ἀτιμάζει τὸν πατέρα καὶ κύριον ὁ τὸν ἐξ αὐτοῦ γεγεννημένον ὑβρίζων, [ὃν] Χριστὸν ὁ προφητικὸς 280 λόγος ὠνόμασεν.

Εἶτα δὴ παρακατιὼν ὁ ψαλμὸς δείκνυσιν αὐτὸν τὸν ὑβρισμένον θεὸν θεοπρεπῶς ἐπὶ τῶν οὐρανῶν καθήμενον καὶ ὡσανεὶ καταγελῶντα τῶν ἐπιβουλευσάντων καὶ αὐτὸν δὴ τὸν τούτου θεὸν καὶ πατέρα ἐκμυκτηρίζοντα τοὺς τῷ υἱῷ ἐπιβε- 285 βουλευκότας· [λέγει] γὰρ ὁ ψαλμός, 'ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς.' εἶτα δὴ καὶ αὐτὸν τὸν υἱὸν ὡσπερεὶ πρωτό[τοκον] ποιεῖ ὁ προφήτης ἐν τῷ αὐτῷ ψαλμῷ λέγοντα οὑτωσί· 'κύριος εἶπε πρός με, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε', βεβαιούμενος 290 καὶ τὴν τούτου ἀνθρωπικὴν γέννησιν. αὐτὸν δὴ τὸν πατέρα ποιεῖται εἰς αἴτησιν τὸν υἱὸν προκαλούμενον καὶ διδόντα ὡς ἀνθρώπῳ ἅπερ δὴ ὡς θεὸς ὁ[μοῦ] καὶ δημιουργὸς ἰσοκλήρως καὶ ὁμοτίμως ἔχει τῷ πατρί. 'αἴτησαι' γάρ φησι 'παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κ[ατάσ]χε- 295 σίν σου τὰ πέρατα τῆς γῆς.' εἰρηκὼς δὲ ὁ προφήτης τὸ 'ἐγὼ σήμερον γεγέννηκά σε' τὴν ἀνθρωπικὴν ἐμφαίνει τοῦ Ἰησοῦ γέννησιν διὰ τῆς σήμερον ὀνομασίας· ὃν γὰρ πρὸ πάντων αἰώνων συναϊδίως αὐτῷ γεγέννηκε, τοῦτον ὡς σήμερον γεννώμενον τῷ καθ' ἡμᾶς παρεισάγει βίῳ. 300

Ἐν δὲ ἑτέρῳ τοῦ αὐτοῦ προφήτου ψαλμῷ αὐτὸς ὁ θεὸς καὶ πατὴρ εἰσάγεται οὑτωσὶ λέγων πρὸς τὸν υἱόν, 'ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεγέννηκά σε.' καὶ μή τι νομίσῃς ὅτι ὡς ἐκ γαστρὸς προελήλυθε τοῦ ἀνάρχου πατρὸς ὁ υἱός· ποταπὴ γὰρ τῷ ἀσωμάτῳ γαστήρ; ἀλλ' ἐπειδὴ ἀδύνατον τὸ ὑπὲρ φύσιν 305 ἀρρήτως ἐκφωνηθῆναι κατὰ τὴν ἰδίαν μεγαλειότητα, ἐκ τῶν παρ' ἡμῖν γνωριμωτέρων ὀνομάτων ταῦτα σημαίνεται·

286–287 Ps. 2,4 || **289–290** Ps. 2,7 || **294–296** Ps. 2,8 || **302–303** Ps. 109,3

αὐ[τὴν] γὰρ τὴν τοῦ πατρὸς οὐσίαν, ἐξ ἧς ὁ υἱὸς συναϊδίως
ὑφέστηκε τῷ γεννήσαντι, γαστέρα τροπικῶς ὁ λόγος ὠνόμα-
310 σεν, ὥσπερ καὶ τὴν ἐκεῖθεν πρόοδον γέννησιν ἰδίως ἐκάλεσε.
μὴ τοίνυν γαστρὸς καὶ γεννήσεως ἀκούων καὶ τοιούτων
ἀνθρωποπρεπῶν ὀνομάτων εἰς ὑλικὰς ἐμφάσεις κατενεχθῇς,
ὅπερ δὴ πολλοὶ τῶν ἀμυήτων πεπόνθασιν· ἀλλ' ὥσπερ κτίζει
τὴν σύμπασαν κτίσιν ὁ υἱὸς καὶ θεός, οὐ προανατυπωσά-
315 μενος τὴν τοῦ παντὸς μεγαλουργίαν οὐδὲ φροντίσας περὶ τῆς
τούτου παραγωγῆς, ἀλλ' ὁμοῦ τῷ θελῆσαι τὸ πᾶν συστησά-
μενος, οὕτω δὴ καὶ γεννᾷ τοῦτον ὁ θεὸς καὶ πατήρ, οὐ συσ-
χὼν πρότερον οὐδ' ὠδινήσας (ἱλήκοι τῷ λόγῳ θεός), ἀλλ' ἀ-
χρόνως καὶ ὑπερουσίως καὶ ὡς αὐτὸς ὁ γεννήσας ἔγνω καὶ ὁ
320 γεγεννημένος υἱός. οὐκ ἐπειδὴ δὲ ὁ μὲν ἐγέννησεν, ὁ δὲ γε-
γέννηται, πρεσβύτερος τοῦ γεγεννημένου ὁ γεγεννηκώς, ὥσ-
περ δὴ παρ' ἡμῖν τοῖς γεννῶσι καὶ γεννωμένοις εὑρίσκεται. εἰ
γὰρ δοίημέν τι μέσον τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ἢ χρόνος
τοῦτο πάντως ἐστὶν ἢ αἰών, καὶ πῶς ὁ αἰώνων καὶ χρόνων
325 δημιουργὸς προϋφεστηκότα ἔχει χρόνον ἢ αἰῶνα τῆς οἰκείας
γεννήσεως; συναΐδιος τοιγαροῦν καὶ συνάναρχος ὁ υἱὸς τῷ
πατρί. καὶ τί θαυμαστὸν εἰ ἐπὶ τῶν θείων τοῦτο οὕτως ἔχει,
ὁπότε καὶ ἐπὶ τῶν αἰσθητῶν πραγμάτων οὐ πάντοτε τοῦ αἰ-
τιατοῦ τὸ αἴτιον προγενέστερον; οὐδὲ γὰρ ὁ ἥλιος πρεσβύτε-
330 ρος τοῦ φωτός, καίτοι ὁ μὲν αἴτιος, τὸ δὲ αἰτιατόν, ἐκ γὰρ
τοῦ ἡλίου τὸ φῶς. εἰ δὲ αἱ παρ' ἡμῖν τοῖς ἀνθρώποις γεννή-
σεις προϋφεστηκότα μὲν ἔχουσι τὸν πατέρα, ὑστερογενῆ δὲ
τὸν υἱόν, οὐ χρὴ ἀπὸ τῆς ῥεούσης φύσεως τὴν ἑστῶσαν οὐ-
σίαν χαρακτηρίζειν, ἀλλ' ἐπειδὴ ἐναντίως ἔχει αἴσθησίς τε
335 καὶ νόησις, οὕτω χρὴ λέγειν· εἰ τὰ αἰσθητὰ κατὰ φύσιν, ὑπὲρ
φύσιν ⟨δὲ⟩ τὰ νοητά, εἰ μὴ συνυπάρχει ἐν τοῖς κατὰ φύσιν
τὰ γεννήματα τοῖς πατράσι, συναΐδια πάντως ἐν τοῖς ὑπὲρ
φύσιν τοῖς αἰτίοις τὰ αἰτιατά. αἴτιος μὲν οὖν ὁ πατὴρ τοῦ
υἱοῦ, ἀλλ' οὐχὶ καὶ χρόνῳ πρεσβύτερος, ὡς αἴτιος ὁ ἥλιος τοῦ
340 φωτός, ἀλλ' οὐκ ἐκείνου προϋφεστηκώς.

308 suppl. Wk. || **336** add. Wk.

Τοσοῦτον οὖν ὁ λόγος τοῦ προτεθειμένου σκοποῦ παραβεβηκὼς πάλιν ἐπάνεισιν ἐπὶ τὴν πρώτην ὑπόθεσιν. ὅτι δὲ πολλαχοῦ τῶν προφητικῶν λόγων ὁ Χριστὸς ὀνομαστὶ τοῦ θεοῦ υἱὸς ὀνομάζεται ἐκ σπέρματος Δαυὶδ ἀνιστάμενος καὶ κέρας Δαυὶδ ὀνομαζόμενος τούς τε ἐχθροὺς αὐτοῦ καταισχύνων καὶ 345 τὸ ἁγίασμα τοῦ πατρὸς αὐτοῦ ἀνανεῶν, ὁ αὐτὸς πάλιν προφήτης καὶ βασιλεὺς ἐν πρώτῳ καὶ τριακοστῷ καὶ ἑκατοστῷ ψαλμῷ οὑτωσὶ λέγει· 'ὤμοσε κύριος τῷ Δαυὶδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν. ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.' καὶ μετὰ βραχύ· 'ἐκεῖ ἐξανατελῶ κέρας 350 τῷ Δαυίδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου, τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.' εὐξαμένῳ δὲ τῷ προφήτῃ καὶ τὸν τόπον γνῶναι, ἔνθα δὴ ὁ προσδοκώμενος ἥξειν λόγος ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ἀποτεχθήσεται, καὶ βιαίως ἐνστάντι πρὸς τὸ τετυχηκέναι τῆς 355 τοιαύτης ἐπιθυμίας ('οὐ δώσω' γάρ φησιν 'ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ Ἰακώβ') πληροῖ τὴν εὐχὴν τὸ πνεῦμα τὸ ἅγιον καὶ ὀνομαστὶ τὸ χωρίον ἀποκαλύπτει, ἐν ᾧ τὸ κατὰ σάρκα τεχ- 360 θήσεται ὁ θεός. λέγει [γὰρ] ἐφεξῆς· 'ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾶ,' ὅπερ ἐστὶν ἐν Βηθλεέμ· 'προσκυνήσωμεν' οὖν φησιν 'εἰς τὸν τόπον, οὗ ἔστησαν [οἱ πόδ]ες αὐτοῦ.'

Καὶ προφήτης δὲ ἕτερος, Ἀμὼς ὀνομαζόμενος (τὸ δὲ ὄνομα τούτου δύναμιν ἢ στερέωσιν ἢ ἰσχὺν ἡ Ἑλληνὶς οἶ[δε] φωνή, 365 πατὴρ δὲ οὗτος Ἡσαΐου τοῦ μεγίστου τῶν προφητῶν), Χριστὸν ὀνομαστὶ καταγγέλλει τὸν σαρκωθέντα θεόν, πᾶσι μὲν ἀνθρώποις [σεβ]αζόμενον, ἐξαιρέτως δὲ τῷ Ἰουδαίων ἔθνει ἀφοσιούμενον. λέγει γοῦν οὕτως πρὸς τὸν Ἰσραὴλ ὁ προφήτης ἐπὶ λέξεως· 'ἑτοιμάζου [τοῦ ἐπικα]λεῖσθαι τὸν θεόν, Ἰσ- 370

348–350 Ps. 131,11 ‖ **350–353** ibid. 17–18 ‖ **356–359** ibid. 4–5 ‖ **364–365** Ps.-Basil. in Isai. PG 30,136B ‖ **370–372** Amos 4,12–13

356 οὐ] εἰ LXX ‖ **368** suppl. Wk.

ραήλ, διότι στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ.' τίς δὲ [ὁ ἀπαγγέλλων] εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ ἢ ὁ πατὴρ ἐκείνου, ὁ τὸν αὐτοῦ υἱὸν τῷ γένει τῶν ἀνθρώπων διὰ τῆς οἰκο-
375 νομίας διερμη[νεύων]; ἐπιφέρει γοῦν, 'κύριος ὁ θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτοῦ.'

Καὶ προφήτης δὲ ἕτερος, Ἀββακοὺμ ὄνομα, ὁ τῷ ὄντι δε[........] καὶ θεατὴς τοῦ μεγάλου λήμματος, 'ἐξῆλθες' φησὶν 'εἰς σωτηρίαν λαοῦ σου τοῦ σῶσαι τοὺς χριστούς σου,
380 ἔβαλες εἰς κεφαλὰς [ἀνόμων θάν]ατον.' σαφέστερον δὲ ἑρμηνευτὴς ἕτερος τὴν λέξιν ἐξέφρασεν· 'ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, εἰς σωτηρίαν σὺν τῷ Χριστῷ [σου.' εἰς] τὸν πατέρα ὁ προφητικὸς ἀναφέρεται λόγος, ὃς δὴ σὺν τῷ υἱῷ καὶ Χριστῷ τὴν τῶν ἀνθρώπων σωτηρίαν εἰργάσατο· ὁ μὲν γὰρ
385 πατὴρ [εὐδ]οκί[ᾳ ....]σεν, ὁ δὲ υἱὸς ταύτης αὐτουργὸς γέγονεν, ὅλον διὰ τοῦ προσλήμματος τὸν ἄνθρωπον ἐνδυσάμενος καὶ ὑπὲρ αὐτοῦ πρὸς [τὸν] κατασχόντα [.... ἐ]ξαγωνισάμενος.

Καὶ προφήτης δὲ ἄλλος, Ἱερεμίας καλούμενος, ἐν οἷς τὸν
390 Ἰσραὴλ διεφθαρμένον ἀπολοφύρεται, Χριστὸν αὐτὸν ὀνομάζει ἀριδηλότατα, ὑπὸ Ἰουδαίων μὲν ἐπιβουλευόμενον, τοῖς ἔθνεσι δὲ γνωριζόμενον. 'πνεῦμα' γάρ φησι 'πρὸ προσώπου ἡμῶν Χριστὸς κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν, οὗ εἴπομεν ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσι.'

395 Καὶ ἐν τῇ πρώ[τῃ δὲ] τῶν Βασιλειῶν (τετράβιβλός ἐστι σύνταξις παρ' Ἑβραίοις ἀναγραφὰς ἔχουσα τῶν ἐν αὐτοῖς βασιλέων καὶ προφητῶν) – ἐν γοῦν τῇ [πρώτῃ βί]βλῳ φησί τις λόγος· 'κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν, αὐτὸς κρινεῖ ἄκρα γῆς καὶ δίδωσιν ἰσχὺν τοῖς βα[σιλεῦσιν] ἡμῶν καὶ
400 ὑψώσει κέρας Χριστοῦ αὐτοῦ.' τίς δὲ ἄλλος ἐστὶν ὁ Χριστός,

375–376 ibid. 4,13 || **377** cf. Habac. 1,1 || **378–380** ibid. 3,13 || **392–394** Lament. 4,20 || **398–400** I Regn. 2,10

375 Wk. || **385** Wk. || **387** ᾅδην coni. Papaioannou

οὗ τὸ κέρας ὑψηλόν τε καὶ κραταιόν, ἢ ὁ χρισθεὶς [παρὰ τοῦ] μεγάλου πατρὸς καὶ εἰς τὴν οἰκονομίαν προχειρισθεὶς καὶ ὁ χρίσας τὴν ἀνθρωπότητα θεότητι;

Ἐν δὲ τῇ αὐτῇ βίβλῳ πρός τι[να ἱερέα] Ἠλεὶ ὄνομα καταρραθυμήσαντα τῶν ἱερῶν νομίμων καὶ τοὺς παῖδας πλημμε- 405 λοῦντας περὶ τὰς θυσίας μὴ σωφρονίζον[τα σ]αφῶς ὁ χρηματίζων λόγος φησίν· 'ἰδοὺ ἡμέραι ἔρχονται καὶ ἐξολοθρεύσω τὸ σπέρμα σου καὶ τὸ σπέρμα οἴκου πατρός σου, καὶ [ἀναστήσω] ἐμαυτῷ ἱερέα πιστόν, ὃς πάντα τὰ ἐν τῇ καρδίᾳ μου καὶ τὰ ἐν τῇ ψυχῇ μου ποιήσει καὶ οἰκοδομήσει ἑαυτῷ οἶκον 410 καὶ [διελεύσεται] ἐνώπιον Χριστοῦ μου πάσας τὰς ἡμέρας.' τίς δ' ἂν οὗτος ὁ Χριστὸς εἴη, οὗ ἐνώπιον ὁ ἱερεὺς διελεύσεται ἢ ὁ τοῦ θεοῦ υἱός, [ὃν πᾶς] μὲν ἱερεύς, πᾶς δὲ προφήτης φοβηθήσεται καὶ 'ἐνώπιον αὐτοῦ προπορεύσεται καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ'; 415

Καὶ [ὁ θεῖος] δὲ προφήτης καὶ βασιλεὺς Δαυὶδ ἐν τεσσαρακοστῷ καὶ τετάρτῳ ψαλμῷ ἐπιγραφὴν ἔχοντι 'ὑπὲρ τοῦ ἀγαπητοῦ', ὃς δὴ προδήλως ἐστὶν ὁ θεὸς τῷ μεγάλῳ πατρὶ ἠγαπημένος, οὐδὲν ἐνδοιάσας περὶ τῆς αὐτοῦ φύσεως καὶ τοῦ θεϊκοῦ ἀξιώματος οὕτω φησίν· 'ὁ θρόνος σου, ὁ θεός, εἰς τὸν 420 αἰῶνα, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας διακαιοσύνην καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε, ὁ θεός, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.' οὐ βροντὴ ἀτεχνῶς ἐστιν ἡ τοιαύτη τοῦ προφήτου φωνή, ὥσπερ ἐξ οὐρανοῦ εἰς τὴν σύμπασαν γῆν τὸν ἦχον ἐκ- 425 πέμπουσα καὶ τὸν πατέρα καὶ τὸν υἱὸν καταγγέλλουσα; τίς γὰρ ὁ τῷ ἐλαίῳ χρισθείς; οὐχ ὁ υἱὸς καὶ θεός; [παρὰ] τίνος δὲ κέχρισται; οὐ παρὰ τοῦ αὐτὸν γεγεννηκότος πατρός; ἀλλὰ τί φησι τὸ 'παρὰ τοὺς μετόχους σου'; ἐπειδὴ γὰρ καὶ ἕτεροι καὶ τῷ τῆς προφητείας ἐλαίῳ καὶ τῷ τῆς βασιλείας 430

407–411 ibid. 2,31;35 ‖ **414–415** Ps. 84,14 ‖ **420–424** Ps. 44,7–8

413 suppl. Wk.

ἐχρίσθησαν, πολλοὶ δὲ καὶ τῷ τῆς ἱερωσύνης, καὶ κατὰ τὴν
τοιαύτην χρῖσιν συμμέτοχοι γεγόνασι τοῦ θεοῦ καὶ Χριστοῦ,
ἵνα μή τις τοῦ ἴσου καταλόγου ἐκείνοις καὶ τοῦτον θείη,
ἔδειξε τὸ τῆς χρίσεως ὁ λόγος ἐξαίρετον. 'παρὰ' γὰρ 'τοὺς
435 μετόχους σου' φησὶ 'κέχρισαι'· οἱ μὲν γὰρ αἰσθητῷ ἐλαίῳ ἐ-
χρίσθησαν, σὺ δὲ τῷ θείῳ καὶ ὑπὲρ φύσιν· καὶ οἱ μὲν ψιλοὶ ἐ-
χρημάτισαν ἄνθρωποι, σὺ δὲ θεὸς ἡμῶν καὶ ἄνθρωπος, ἑκά-
τερα τέλειος. ὑπὲρ τοὺς μετόχους σου τοιγαροῦν ἡ σὴ χρῖσις·
διὰ ταῦτά σοι καὶ τὸ ἔλαιον οὐχ ἁπλοῦν ἔλαιον, ἀλλ' ὑπερ-
440 φυοῦς γέμον ἀγαλλιάσεως ἤτοι θυμηδίας πνευματικῆς.

Βούλει, μεγαλοδοξότατε φίλε, καὶ περὶ τοῦ θείου ἀκοῦσαι
πνεύματος, ἵν' ἔχοις τὴν παρ' ἡμῖν τριάδα ἄνωθεν προκηρυτ-
τομένην; ἄκουσον Ἡσαΐου τοῦ μεγαλοφωνοτάτου τῶν προ-
φητῶν σοφῶς τοῦτο κηρύττοντος· 'πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ
445 ἕνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰά-
σασθαι τοὺς συντετριμμένους τῇ καρδίᾳ, κηρῦξαι αἰχμαλώ-
τοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν.'

Καὶ ἔν τινι δὲ τῶν τοῦ Δαυὶδ ψαλμῶν τὸ διάφορον δηλοῦ-
ται τῶν ὑποστάσεων· 'κάθου' γάρ φησιν ὁ πατὴρ πρὸς τὸν
450 υἱόν, 'ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον
τῶν ποδῶν σου, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.'

Καὶ ὁ δημαγωγὸς ἐκεῖνος τοῦ Ἰσραὴλ Μωσῆς, ᾧ κατὰ
στόμα λελάληκεν ὁ θεὸς ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων, τὴν
τοῦ Ἰησοῦ εἰς ἀνθρώπους ἐπιδημίαν παρὰ τοῦ θείου μυηθεὶς
455 πνεύματος συμβολικῶς ταύτην ᾐνίξατο τῷ λαῷ. τὸν γὰρ μετ'
αὐτὸν ἄρξειν τοῦ λαοῦ μέλλοντα, Ναυσῆν ἐκ πρώτης γενέ-
σεως ὀνομαζόμενον, οὐκ ἠξίωσεν ἄλλως ἡγεμόνα τοῦ Ἰσραὴλ
προστήσασθαι, εἰ μὴ μεταβάλῃ αὐτῷ τὴν προ[ση]γορίαν καὶ
Ἰησοῦν ἀντὶ τοῦ Ναυσῆ ὀνομάσειεν. ὅτι δὲ ὁ Μωσέως διάδο-
460 χος Ἰησοῦς, ἄγγελος ἐπικεκλημένος καὶ τοῦ λαοῦ καθηγεῖσ-

444–447 Isai. 61,1 || **449–451** Ps. 109,1–2 || **452–453** cf. Num. 12,8 || **456–459** cf. Euseb. Dem. ev. IV 17

444 σοφῶς] an σαφῶς scribendum (cf. 258–259; 670)?

θαι μέλλων, τὸ ὄνομα τοῦ χρηματίζοντος Χριστοῦ ἐπιφέρεται, ἄκουσον τί φησιν ἡ δευτέρα βίβλος τῶν Μωσαϊκῶν συγγραμμάτων, ἥτις Ἔξοδος ἐπιγέγραπται· 'ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ἵνα φυλάσσῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σε εἰς τὴν γῆν, ἣν ἡτοίμασά σοι· πρόσεχε 465 αὐτῷ καὶ εἰσάκουε αὐτοῦ, μὴ ἀπείθει αὐτῷ, τὸ γάρ ὄνομά μού ἐστιν ἐπ' αὐτῷ.'

Καὶ προφήτης τις Ζαχαρίας ὀνομαζόμενος περὶ Ἰησοῦ τοῦ ἱερέως τοῦ μεγάλου, εἰκόνα καὶ τύπον φέροντος τοῦ σωτῆρος ἡμῶν, οὕτω φησίν· 'ἰδοὺ ἀνήρ, Ἀνατολὴ ὄνομα αὐτοῦ, καὶ οὗ- 470 τος οἰκοδομήσει τὸν οἶκον κυρίου καὶ αὐτὸς λήψεται ἀρετὴν καὶ καθιεῖται καὶ κατάρξει ἐπὶ τοῦ θρόνου αὐτοῦ καὶ ἔσται ὁ ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ καὶ βουλὴ εἰρηνικὴ ἔσται ἀνὰ μέσον ἀμφοτέρων.' τίς οὖν ἄλλος ἐστίν, ᾧ Ἀνατολὴ ὄνομα, εἰ μὴ ὁ ἀληθινὸς ἥλιος, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ὑπὲρ πᾶ- 475 σαν μὲν ἀρετήν, κατὰ δὲ τὸ ἀνθρώπινον εἰληφὼς αὐτήν, ὁ εἰς τὴν ἡμετέραν καταβὰς αἰχμαλωσίαν καὶ τὸν ἡμέτερον ῥύπον ἀναμαξάμενος τά τε κατὰ τὸ πάθος αἴσχη διὰ τὴν πρὸς ἡμᾶς φιλανθρωπίαν ὑπομεμενηκώς; περὶ οὗ φησιν Ἡσαΐας ὁ μέγας τῷ ὄντι προφήτης· 'οὗτος τὰς ἁμαρτίας 480 ἡμῶν φέρει καὶ [ὑπὲ]ρ ἡμῶν ὀδυνᾶται· καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν ἐν πόνῳ καὶ ἐν πληγῇ καὶ ἐν κακώσει, αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρ[τίας] ἡμῶν καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν.' περὶ οὗ καὶ ὁ θεοπτικώτατος Παῦλος, ὁ μέγας τοῦ κυρίου ἀπόστολος, οὕτω φησί· 'τὸν μὴ γνόντα 485 ἁμαρ[τίαν] ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς δικαιοσύνη θεοῦ γενώμεθα ἐν αὐτῷ'· καὶ 'Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νό[μου γενό]μενος ὑπὲρ ἡμῶν κατάρα.'

Καὶ Σολομῶν δὲ ὁ σοφώτατος, ὁ τοῦ θεοπάτορος Δαυὶδ 490

463–467 Exod. 23,20–21 || **470–474** Zach. 6,12–13 || **480–484** Isai. 53,4–5 || **485–487** 2 Cor. 5,21 || **487–488** Gal. 3,13

481 suppl. Du.

υἱός, ὁ εἰρηνικὸς βασιλεὺς τοῦ Ἰσραήλ, οἶδέ τινα πρω-
τότ[οκον] τοῦ θεοῦ δύναμιν, ἣν καὶ σοφίαν θεοῦ καὶ γέννημα
αὐτοῦ προαγορεύει. λέγει γὰρ ἐν ταῖς γεγραμμέναις παρ' αὐ-
τοῦ Παροιμίαις ὡς ἐκ προσώπου αὐτοῦ τοῦ θεοῦ· 'ἐγὼ ἡ σο-
495 φία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐπεκαλε-
σάμην· δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι καὶ οἱ δυ[νά]σται γρά-
φουσι [δι]καιοσύνην· δι' ἐμοῦ μεγιστᾶνες μεγεθύνονται καὶ
τύραννοι κρατοῦσι γῆς.' καὶ μετ' ὀλίγα· 'κύριος ἔκτισέ με ἀρ-
χὴν [ὁδοῦ] εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν
500 ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι καὶ πρὸ τοῦ τὰς ἀβύσσους
ποιῆσαι, πρὸ τοῦ [προελ]θεῖν [τὰς πηγὰς] τῶ[ν ὑδάτων], πρὸ
τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.' ὅρα
τῶν ῥητῶν τὴν ἀκρίβειαν, τὴν δ[ιπλῆν δηλοῦσαν φύσιν] τοῦ
υἱοῦ τοῦ θεοῦ, τὴν ἀνθρωπικὴν διὰ τοῦ εἰπεῖν 'κύριος ἔκτισέ
505 με' καὶ τὴν προαιώνιον διὰ τοῦ εἰπεῖν 'πρὸ π[άντων βου]νῶν
γεννᾷ με'. οὐδὲ γὰρ ὁ αὐτὸς κατὰ ταὐτὸ καὶ κτίζεται καὶ
γεννᾶται· ὅθεν καὶ τῆς ἀνθρωπικῆς γεννήσεως αἰτίαν
εἴρ[ηκεν, 'ἔκτισέ με] ἀρχὴν ὁδοῦ εἰς ἔργα αὐτοῦ', τῆς δὲ θεϊ-
κῆς οὐδεμίαν εἶπεν αἰτίαν (ὑπὲρ γὰρ αἰτίαν καὶ λόγον ἡ ἐκ
510 τοῦ μεγάλου πατρὸς [γέννησις), μόνον δὲ] εἰρηκώς, 'πρὸ τοῦ
ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με' πρωτότο-
κον ἑαυτὸν τοῦ πατρὸς δείκνυσι καὶ λό[γον .... 'ἀτμὶς]
γάρ ἐστι τῆς τοῦ θεοῦ δυνάμεως' κατὰ τὸν αὐτὸν προφήτην
'καὶ ἀπόρροια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινὴς καὶ
515 ἀπα[ύγασμά ἐστι φωτὸς ἀι]δίου καὶ ἔσοπτρον ἀκηλίδωτον
τῆς τοῦ θεοῦ ἐνεργείας καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ.'
ἀκατανόητος δὲ ὁ τρόπος [τῆς γεννήσεως αὐτοῦ]· 'τὴν γὰρ
γενεὰν αὐτοῦ' φησι 'τίς διηγήσεται;' καὶ γὰρ καὶ αὐταῖς ταῖς
ἐπουρανίαις δυνάμεσιν ἀνέφικτος ἡ τοῦ μον[ογενοῦς γέννη-
520 σις].

494–498 Prov. 8,12; 15–16 || **498–502** ibid. 8,22–25 || **512–516** Sap. 7,25–26 || **517–518** Isai. 53,8

503 suppl. Wk. || **510** suppl. Wk. || **512** Wk. || **519** Wk.

Καὶ ὁ τούτου δὲ τοῦ Σολομῶντος πατήρ, ὁ μέγας Δαυίδ, περὶ οὗ πολλάκις εἰρήκαμεν, ἐν τῷ τεσσαρακοστῷ ⟨τετάρτῳ⟩ αὐτοῦ ψαλμῷ ἐπ[ιγραφομένῳ 'εἰς τὸ] τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, εἰς σύνεσιν ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ' οὕτω φησίν· 'ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγα[θόν, λέγω ἐγὼ 525 τὰ ἔργα] μου τῷ βασιλεῖ.' καὶ παρακατιών· 'ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου, διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς εἰς τὸν αἰῶ[να· περίζωσαι] τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου.' καὶ ἵνα μὴ δόξῃ ὁ προφήτης [ταῦτα περί τινος] τῶν βασιλέων εἰρῆσθαι, προϊὼν ἀνα- 530 καλύπτει ἀναφανδὸν πρὸς ὃν τὸν λόγον ποιεῖται· 'ὁ θρόνος σου' γάρ φησιν, 'ὁ θεός, εἰς [τὸν αἰῶνα τοῦ] αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν, [δι]ὰ τοῦτο [ἔχρισέ σε] ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.' ἐπιγέ- 535 γραπται δὲ ὁ ψαλμὸς 'εἰς τὸ τέλος', ὅτι ἐπὶ τέλει τῶν αἰώ[νων τὸ] τῆς οἰκο[νομίας μυστήριον] γέγονε· πρόσκειται δὲ 'ὑπὲρ τῶν ἀλλοιωθησομένων', ὅτι διὰ τοῦ τοιούτου μυστηρίου ἡμεῖς ἠλλοιώθημεν μεταποιηθέν[τες τῷ ἁγίῳ] πνεύματι καὶ ὡσανεὶ μεταμορφωθέντες ἀπὸ κακίας εἰς ἀρετὴν καὶ τὴν 540 κρείττω ἀλλοιωθέντες ἀλλοίωσιν· τὸ [δὲ 'εἰς] σύνεσιν ᾠδὴ' τοῦτο δηλοῖ, ὅτι δεῖται ἡ ᾠδὴ αὐτοῦ τοῦ ψαλμοῦ ἀκριβοῦς τῷ ὄντι συνέσεως τοῦ ὀφείλοντος [ἐπιγνῶ]ναι τὴν πρόρρησιν· τὸ δὲ 'ὑπὲρ τοῦ ἀγαπητοῦ' ἐμφανέστατα σημαίνει τὸν ἠγαπημένον υἱὸν τῷ μεγάλῳ πατρί, ὑπὲρ οὗ καὶ [τὴν ᾠδὴν] ποιεῖ- 545 ται ὁ ψαλμῳδός.

Ὅτι δὲ πολλαχοῦ τῶν οἰκείων λόγων οἱ προφῆται οὐχ ἑνὸς θεοῦ, ἀλλὰ πῇ μὲν δύο, πῇ δὲ τριῶν μέ[μνηνται], ἐν πολλοῖς δηλώσω. αὐτίκα ὁ αὐτὸς προφήτης Δαυὶδ ἐν τῷ ρθ' ψαλμῷ

523–526 Ps. 44,1–2 || **526–529** ibid. 44,3–4 || **531–535** ibid. 44,7–8 || **535–537** cf. supra 2,7–9

522 τετάρτῳ add. Gautier || **530** suppl. Wk. | scr. εἰρηκέναι? || **537** Wk. (τῆς οἰκουμένης τοῦτο Gautier) || **539** Wk.

550 οὕτω λέγει ἀρχόμενος· 'εἶπεν ὁ κύριος τῷ κ[υρίῳ μου], κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ῥάβδον δυνάμεως ἐξαποστελεῖ σ[οι κύριος] ἐκ Σιών, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου ἐν ταῖς λα[μπρό]τησι τῶν
555 ἁγίων σου. ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται.' ταῦτα μὲν ὁ προ[φήτης]· σὺ δὲ μὴ ἀκούων δύο θεῶν ἢ τριῶν παρ' ἡμῶν δοξαζομένων εἰς ἔννοιαν καταπέσῃς πολυθεΐας, εἷς γὰρ θεὸς ὁ πα[ρ' ἡ]μῖν λατρευόμενος, τὴν μὲν οὐσίαν ἄτμητος καὶ ἀμέριστος, διῃρημέ-
560 νος δὲ τοῖς προσώποις καὶ ταῖς ἰδιότησιν. Ἰουδαῖ[οι μὲν] γὰρ διὰ πενίαν ψυχῆς καὶ †θεότητος† ἑνὶ μόνῳ προσώπῳ τὸ τῆς θεότητος περιγράφουσιν ὄνομα, Ἕλληνες διὰ νόσον πολυθε[ΐας] πολλοὺς θεοὺς ἀνεπλάσαντο· ἡμεῖς δὲ τάς τε ἐλλείψεις καὶ τὰς ὑπερβολὰς ἑκατέρων διωθούμενοι μίαν φαμὲν
565 θεότητα καὶ μίαν οὐσίαν καὶ μίαν φύσιν θεοῦ καὶ μίαν μορφήν, τρία δὲ πρόσωπα καὶ τρεῖς ὑποστάσεις καὶ τρεῖς χαρακτῆρας καὶ ἰδιότητας. τοὺς μὲν γὰρ πολλοὺς καὶ ἀπειροτέρους τῶν ὑψηλοτέρων ἐννοιῶν καὶ τῆς ἀκριβεστέρας θεολογίας σαίνει πως τὸ ἕνα θεόν, ἄτμ[ητον] ὑπόστασιν μήτε υἱὸν
570 γεννήσασαν μήτε θεῖον προβαλοῦσαν πνεῦμα, κηρύττεσθαι καὶ ἀναγορεύεσθαι, δεδοικότας μὴ πολυθεΐαν κατακριθῶσι καὶ μὴ εἰς ἐμπαθεῖς ὑπολήψεις ἐμπέσωσι πατέρα γεννῶντα καὶ υἱὸν γεννώμενον λέγον[τες] καὶ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορευόμενον. φοβοῦνται δὲ φόβον, οὗ οὐκ ἔστι φόβος, καὶ
575 αἰσχύνονται περὶ θειοτέρου πράγματος, ὑπὲρ οὗ ἔδει τούτους παρρησιάζεσθαι.

Καὶ περὶ τούτου τοῦ λόγου πολλὰ ἂν εἰρήκειν πρὸς τὴν σὴν μεγαλοδοξότητα, πιστούμενός σοι τὴν μονάδα καὶ τὴν τριάδα, ὅτι δὴ ἐν τοῖς μαθήμασι τὰ δύο ταῦτα ὀνόματα, ἡ

550–556 Ps. 109,1–4 || **574** Ps. 52,6

561 θεότητος ex 562 irrepsit (scr. ex. gr. σκαιότητα) || **569** suppl. Wk.

μὲν μονὰς γονιμωτάτη ἐστί, θειοτάτη δὲ ἡ τριάς, ἀρχὴν καὶ 580
μέσον καὶ τελευτὴν ἔχουσα, ἡ δέ γε δυὰς ὑλικωτάτη καὶ
πρώτη διαίρεσις καὶ τομή· [ἣν εἰ]κότως ἡμεῖς ὑπερβαίνοντες
μονάδα καὶ τριάδα κηρύττομεν. ἀλλ' οὐ χωρητὰ ταῦτα ταῖς
τῶν πολλῶν ἀκοαῖς δ[ιὰ] τὸ δεῖσθαι θεωρίας ποικιλωτέρας
καὶ ἀκριβεστέρας. τὸ δ' ὅσον εἰκός ἐστι κατανοῆσαι ἀπὸ τῶν 585
αἰσθητῶν καὶ ἀπὸ τῶν μικροτέρων τὰ μεγάλα χαρακτηρίζειν,
ὅρα καὶ τὴν ἡμετέραν ψυχὴν μονάδα καὶ τριάδα τυγχάνουσαν·
ἐπειδὴ γὰρ εἰκών ἐστι τοῦ ταύτην πεποιηκότος θεοῦ,
ἀνεμάξατο ὅσον εἰκὸς ἐν ἑαυτῇ τὴν ἰδέαν τοῦ πρωτοτύπου,
[καὶ] τὸ μὲν αὐτῆς ἐστι νοῦς ἀνάλογον τῷ θεῷ καὶ πατρί, τὸ 590
δὲ λόγος, τὸ δὲ πνεῦμα, καὶ ἔστιν αὐτῇ ὁ μὲν νοῦς οἷον γεννῶν,
ὁ δὲ λόγος οἷον γεννώμενος, τὸ δὲ πνεῦμα τῷ λόγῳ συνεκπορευόμενον,
καὶ ἔστιν ὁ νοῦς τοῦ μὲν λόγου γεννήτωρ, τοῦ
δὲ πνεύματος προβολεύς. οὕτω τοιγαροῦν καὶ τῆς παρ' ἡμῖν
θεότητος ὁ μέν ἐστι πατὴρ γεννῶν, ὁ δὲ υἱὸς ἐκεῖθεν γεννώ- 595
μενος, ὁ δὲ θεὸς ἄλλος ἰδιοτρόπως πνεῦμα ἅγιον ὀνομαζόμενος,
ἐκ τοῦ πατρὸς μὲν προβαλλόμενον, συμπροϊὸν δὲ τῷ υἱῷ.
καὶ ὁ φαινόμενος δὲ ἐν οὐρανῷ ἥλιος κῆρύξ ἐστι τῆς τριαδικῆς
ταύτης θεότη[τος, εἷ]ς μὲν ὢν τὴν φύσιν, ἐν τρισὶ δὲ ἰδιότησι
γνωριζόμενος· τὸ μὲν αὐτοῦ κύκλος ἡλιακός, τὸ δὲ φῶς, 600
τὸ δὲ ἀκτίς· καὶ ὁ μὲν κύκλος γε[ννᾷ] οἷον τὸ φῶς, ἡ δὲ ἀκτὶς
συναποστίλβει τῷ φωτὶ καὶ συμπρόεισι.

Τὸ τοίνυν παρ' ἡμῖν κηρυττόμενον εἷς ἐστι θεός, οὐχ ἑνὶ
π[ροσώ]πῳ περιγραφόμενος, ἀλλὰ τρισὶ λατρευόμενος, καὶ
τὴν παρ' ἡμῖν μοναρχίαν, ὡς τῶν παρ' ἡμῖν θεολόγων ὁ ἀκρι- 605
βέστατος εἴρηκε, φ[ύσις] μία συνίστησι καὶ γνώμης σύμπνοια
καὶ ταὐτότης κινήσεως. ἔστι μὲν γὰρ καὶ ἓν μαχόμενον
ἑαυτῷ, ὥσπερ ἡ ψυχὴ τοῖς οἰκείοις λογισμοῖς [ἀντι]βαίνουσα,
καὶ πολλῷ πλέον τὸ σῶμα ἓν ὂν καὶ πολλὰ καθιστάμενον τῇ
πολυμερείᾳ καὶ ταῖς ἐναντιώσεσι τῶν χυμῶν· ἔστι καὶ πολλὰ 610

605–607 Greg. Naz. Or. 29,2 (Gallay)

582 suppl. Wk. || **591** γενῶν **P** || **608** suppl. Wk.

κατὰ ἀκριβῆ ὁμόνοιαν συμφωνοῦντα ἀλλήλοις. ἡ δὲ παρ' ἡμῖν μοναρχία ἐν τούτῳ τὴν ἑνότητα ἔχει, τῷ μὴ ἀντικεῖσθαι τὰς ὑποστάσεις ἀλλήλαις. σύμπνοια γὰρ μία πατρὸς καὶ υἱοῦ καὶ πνεύματος, καὶ διὰ τοῦτο καὶ εἷς θεός, ὅτι μὴ διῄρηνται
615 οὔτε τὴν ἐξουσίαν οὔτε τὴν δύναμιν, οὐδὲ [ἐν] αὐταῖς τὸ μὲν πρεσβύτερον, τὸ δὲ νεώτερον, προαιώνιος γὰρ ὅλη καὶ ἰσότιμος καὶ ἰσόδοξος. καὶ τί καινόν, εἰ τὰ τρία φαμὲν ἓν καὶ τὸ ἓν [τρία], ὁπότε καὶ τοὺς πολλοὺς ἀνθρώπους εἰς ἕνα συγκλείομεν ἄνθρωπον τὸν ἑνιαῖον καὶ κοινόν, καὶ λέγομεν διὰ
620 τὸν ἄνθρωπον παραγαγεῖν τὸν θεὸν τὴν σύμπασαν κτίσιν, [αὖθις δὲ] τὸν ἕνα τοῦτον εἰς πολλοὺς διαιροῦμεν; εἰ οὖν καὶ πολλὰ καὶ ἕνα τὸν αὐτὸν λέγομεν κατ' ἄλλο καὶ ἄλλο, οὐδέν τι καινολογοῦμεν ὅσον ἀπὸ τῆς ὀ[ρθότη]τος τὸν αὐτὸν θεὸν ἕνα καὶ τρία κηρύττοντες. καὶ ἐφ' ἡμῶν μὲν τῶν πολλῶν
625 ἀνθρώπων οὐκ ἂν εὕροι τις οὔτε γνώμης σύμπνοιαν οὔτε ταὐτότη[τα κινήσεως], ἀλλ' ὅμως ἕνα φαμὲν τοὺς πολλούς· ἐπὶ δὲ τῆς θείας φύσεως οὐ δέον οὕτως λέγειν, ἔνθα ἡ τῶν τριῶν προσώπων εἰς ταὐτὸ σύννευσις τὸ ἓν ἀκριβῶς τῆς οἰκείας [φύσεως συ]νιστᾷ;
630 Ὢ πηλίκου πράγματος ὑπερορᾷς, μεγαλοδοξότατε φίλε, θείας γεννήσεως καὶ ἐκπορεύσεως. πάσχουσι γὰρ τοῦτο πολλοὶ ἔκ τινων πα[....]άτων τῆς ἡμετέρας θεολογίας· μὴ γὰρ συνωμιληκότες σοφοῖς ἀνδράσι τὸ ἡμέτερον δόγμα διακριβοῦσιν, ἀλλ' ἁπλῶς ἀκούοντες ὅτι [ὑπὸ τῶν] Χριστιανῶν
635 πατὴρ καὶ υἱὸς καὶ πνεῦμα κηρύττεται, αὐτίκα καταγελῶσι τοῦ πράγματος καὶ πολυθέους ἡμᾶς ὀνομάζουσιν. οὐ τοίνυν τριθ[........] τοὺς οὕτως ἔχοντας καὶ διαφθαρέντας ἐν τῷ καθ' ἡμᾶς δόγματι τῆς ἐκκλησίας ἀποκηρύττομεν, ἀλλ' ἕνα θεὸν ὀνομάζομεν καὶ κηρύττομεν [ἐν τρισὶν] ὑποστάσεσι γνω-
640 ριζόμενον.

621 [αὖθις δὲ] τὸν Wk.: [αὖ]θις γὰρ Gautier ‖ **623** suppl. Wk. ‖ **632** fort. παρακουσμάτων (Du.); παραδόξων vel παραδοξοτάτων coni. Papaioannou ‖ **637** τριθ[είαν δοξάζομεν] temptaverit Wk. (τριθ[έους........]τε Gautier)

Σοὶ μὲν μέγα τὸ μὴ ἐθέλειν γεννᾶν τὸν θεόν, ἐμοὶ δὲ πηλίκον εἰς δόξαν καὶ ποδαπὸν εἰς κατανόησιν τὸ ἐξ[ομολογεῖσθαι ἐπὶ τῆς ἡμε]τέρας θεολογίας θεοῦ γέννησιν καὶ πνεύματος ἐκπόρευσιν. ποταπὴν γέννησιν καὶ ποταπὴν ἐκπόρευσιν; μυστικωτέραν [...........] καὶ ὡς οἶδε γεννᾶν ὁ προαιώνιος 645 πατὴρ καὶ γεννᾶσθαι ὁ συναΐδιος υἱὸς καὶ ἐκπορεύεσθαι τ[ὸ κοινὸν ἀμφ]οῖν πνεῦμα.

Τοσοῦτον οὖν τοῦ σκοποῦ παρεκβάντες, ὥστε σου τὴν ψυχὴν περὶ τῶν θειοτέρων ῥυθ[μίζειν, ἐπὶ τὰς ἀπο]δείξεις πάλιν ἐπάνειμι, φημὶ δὴ τὰς διὰ τῶν γραφῶν μαρτυρίας. καὶ 650 Ἠσαΐας δὲ ὁ προφητικώτατος [καὶ μεγαλοφ]ωνότατος σαφῶς οἶδε θεὸν ἐν θεῷ εἶναι λέγων ὁμοίως ἡμῖν δοξάζουσι πατέρα ἐν υἱῷ καὶ υἱὸν [ἐν πατρὶ ....] ὡς ἐκ προσώπου τοῦ ἐπὶ πάντων θεοῦ· 'ἐγὼ κύριος ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς, ἐγὼ τῇ χειρί μου ἐστε[ρέωσα τὸν οὐρανόν, ἐγὼ] πᾶσι 655 τοῖς ἄστροις ἐνετειλάμην, ἐγὼ ἤγειρα τὸν μετὰ διακαιοσύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι· [οὗτος οἰκοδομήσει τὴν] πόλιν μου καὶ [τὴν αἰ]χμαλωσίαν τοῦ λαοῦ ἐπιστρέψει, οὐ μετὰ λύτρων οὐδὲ μετὰ δώρων, εἶπε κύριος σαβαώθ.' καὶ μετ' ὀλίγα [περὶ τῆς ὑποταγῆς] τῶν ἀλλοφύλων ἐθνῶν, ἣν 660 οἷα θεῷ ὑποταγήσονται τῷ προφητευομένῳ, ἐπιφέρει λέγων· 'ἐκοπίασεν Αἴγυπτος καὶ [ἐμπορία Αἰθι]όπων καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ ἔσονται δοῦλοι καὶ ὀπίσω σου ἀκολουθήσουσι [δεδεμένοι χειρ]οπέ[δαις καὶ] ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ θεός ἐστι καὶ οὐκ ἔστι θεὸς 665 πλήν σου, σὺ γὰρ εἶ θεός, καὶ οὐκ ᾔδειμεν. αἰσχυνθή[σονται καὶ ἐντραπήσονται πάν]τες οἱ ἀντικείμενοι αὐτῷ καὶ πορεύσονται ἐν αἰσχύνῃ.' ταῦτα δὴ τὰ προφητικὰ ῥήματα ὅτι τὸν ἐληλυθότα [παρ]ὰ θεοῦ ἐπὶ [σωτηρίᾳ] τοῦ τῶν ἀνθρώπων γέ-

654–659 Isai. 45,12–13 || **662–667** ibid. 45,14–16

642–643 Wk. || **643** θεοῦ] scr. υἱοῦ? || **646–647** suppl. Wk. || **649** Wk. || **653** Wk. || **660** suppl. Wk. || **669** suppl. Wk.

670 νους σαφῶς προεκήρυττον, οὐδεὶς ἀντερεῖ τῶν πάντων, ὅστις μὴ βούλεται προφανῶς κατὰ [.... ἀ]ναισχυντεῖν.

Καὶ Δαυὶδ δὲ ὁ προφήτης ἐν ρμζ′ ψαλμῷ, 'ἕως τάχους' φησὶ 'δραμεῖται ὁ λόγος αὐτοῦ.' καὶ ἐν τῷ λβ′ φησί· 'τῷ λόγῳ [τοῦ κυρίου οἱ ο]ὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι
675 τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.' καὶ ἐν ρς′, 'ἀπέστειλε' φησὶ 'τὸν λόγον αὐτοῦ καὶ ἰάσατο [αὐτοὺς] ἐκ τῶν διαφθορῶν αὐτῶν.'

Καὶ ὁ προφήτης δὲ Ἡσαΐας δύο κυρίους ὁμολογεῖ ἐμφανέστατα, προσθεὶς τούτοις καὶ τὸ θεῖον καὶ παν[άγιον πνεῦμα]·
680 'προσάγετε' γάρ φησι 'πρός με καὶ ἀκούσατε ταῦτα· οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λελάληκα, ἡνίκα ἐγένετο, ἐκεῖ ἤμην· καὶ νῦν κ[ύριος] ἀπέσταλκέ με καὶ τὸ πνεῦμα.'

Καὶ ὁ μέγιστος δὲ θεράπων ἐν τῇ κοσμοποιΐᾳ Μωυσῆς οἶδε τὸν πατέρα καὶ θεὸν τῶν ὅλων ἑτέρῳ κοινο[λογούμενον] ἐπὶ
685 τῇ τοῦ ἀνθρώπου δημιουργίᾳ. τίς δὲ ἄλλος οὗτος ἐστιν ἢ ὁ τούτου υἱὸς καὶ θεός; 'καὶ εἶπε' φησὶν 'ὁ θεός, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα [καὶ καθ'] ὁμοίωσιν.' καὶ αὖθις· 'καὶ εἶπεν ὁ θεός, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν.' καὶ ἵνα μή τις πρὸς ἀγγέλους
690 [ταῦτα] εἰρῆσθαι νομίσειεν, ὥσπερ Ἰουδαῖοι ἠπάτηνται, παραχρῆμα δηλοῖ τὸν κεκελευσμένον οὐκ ἄγγελον ὄντα θεοῦ λέγων· 'καὶ [ἐποίη]σεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν.'

Καὶ ὁπηνίκα δὲ ἔμελλε τὴν γῆν Σοδόμων πυρὶ καὶ θείῳ
695 καταναλίσκειν, θ[εολογεῖ] σαφῶς Μωσῆς· 'ὁ ἥλιος ἀνέτειλεν ἐπὶ τὴν γῆν καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ, καὶ ἔβρεξε κύριος ἐπὶ Σόδομα θεῖον καὶ πῦρ π[αρὰ κυρίου].'

672–673 Ps. 147,4 || **673–675** Ps. 32,6 || **676–677** Ps. 106,20 || **680–682** Isai. 48,16 || **686–687** Gen. 1,26 || **687–689** ibid. 2,18 || **692–693** ibid. 1,27 || **695–697** ibid. 19,23–24

671 θεοῦ suppleverit Papaioannou || **676** post αὐτοὺς add. καὶ ἐρρύσατο αὐτοὺς LXX || **679** πανάγιον suppl. Wk. || **695** suppl. Wk.

Ὁ προπάτωρ δὲ ἡμῶν Ἀβραὰμ παρὰ τῷ αὐτῷ Μωυσῇ ἀναγέγραπται τρεῖς μὲν θεασάμενος ἄνδρας, ἑνὶ δὲ προσ[ώπῳ λαλήσας]· 'ἀναβλέψας δὲ' φησὶ 'τοῖς ὀφθαλμοῖς 700 αὐτοῦ Ἀβραὰμ εἶδε, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ· καὶ ἰδὼν προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς καὶ προσεκύνησε καὶ εἶπε, κύριέ μου.' καὶ μετὰ τὴν ὀπτασίαν φησίν· 'ὁ δὲ κύριος εἶπεν, οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ.' 705

Καὶ ἐν τῷ ἐνενηκοστῷ δὲ ψαλμῷ δύο [ὑποστάσ]ε̣ι̣ς ἐκφαντικώτατα δηλοῖ ὁ Δαυίδ. φησὶ γὰρ 'ὅτι σύ, κύριε, ἡ ἐλπίς μου', καὶ ἐπιφέρει λέγων, 'τὸν ὕψιστον ἔθου κατα[φυγήν]·' κ̣α̣ὶ γ̣ὰ̣ρ ὡς ἀληθῶς ὁ μέγας πατὴρ καὶ θεὸς τὸν μονογενῆ αὐτοῦ υἱόν, ὃν ὕψιστον ὁ ψαλμὸς ὀνομάζει, ἐξίλασμα καὶ 710 καταφυγὴν τῷ γένει τῶν ἀνθρώπων ἔθετο.

Καὶ ὁ προφήτης Ὠσηέ, 'οὐ μὴ ἐγκαταλείψω' φησὶν ἐκ προσώπου τοῦ θεοῦ 'τοῦ ἐξαλιφῆναι τὸν Ἰακώβ, [διότι] θεὸς ἐγώ εἰμι καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος, καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν, ὀπίσω κυρίου πορεύσομαι.' ἐπειδὴ γάρ τιν[ες] ἀποσεμ- 715 νύνοντες τὸν Ἰησοῦν ψιλὸν μὲν ἄνθρωπον, ἅγιον δὲ ὀνομάζουσι καὶ ἡνωμένον κατὰ σχέσιν θεῷ, διὰ ταῦτά φησιν αὐτὸς ὁ [θεὸς] διὰ τοῦ προφήτου· 'θεός εἰμι καὶ οὐκ ἄνθρωπος ἅγιος καὶ ὀπίσω κυρίου πορεύσομαι'· τὸ δὲ 'ὀπίσω κυρίου' ταὐτόν ἐστι τ[ῷ] κ̣α̣τ̣' ἴχνος βαδιοῦμαι τοῦ ἐπὶ πάντων θεοῦ. 720

Καὶ ἐν τῷ προφήτῃ̣ δὲ Ἀμὼς αὐτὸς ὁ υἱὸς τοῦ θεοῦ τοῖς Ἰουδαίοις διαλ[αλεῖ]· 'κατέστρεψα ὑμᾶς, καθὼς κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμορρα', καὶ οὐκ εἴρηκε, 'καθὼς κατέστρεψα Σόδομα καὶ Γόμορρα', ἀλλὰ 'καθὼς κατέστρεψε κύριος ὁ θεός'. τί τοῦ λόγου δηλοῦντος; τὰς δύο σαφῶς ὑπο- 725 στάσεις, τήν τε πατρι[κὴν καὶ] τὴν υἱικήν· μονονουχὶ γὰρ τοῦτό φησιν ὁ θεὸς διὰ τοῦ προφήτου, ὅτι ὥσπερ κατέστρε-

700–704 ibid. 18,2–3 ‖ **704–705** ibid. 18,17 ‖ **707–708** Ps. 90,9 ‖ **712–715** Osee 11,9–10 ‖ **722–723** Amos 4,11

700 Wk. ‖ **706** suppl. Wk. ‖ **708** καταφυγήν σου LXX ‖ **723,724** γόμορα **P**

ψεν ὁ πατήρ μου Σόδομα καὶ Γό[μορρα], οὕτως κἀγὼ ὑμᾶς τοὺς Ἰουδαίους κατέστρεψα.

730 Καὶ ὁ προφήτης δὲ Ἀβδιοὺ τὸν πατέρα καὶ τὸν υἱὸν κηρύττει ἀρι[δήλως]· 'τάδε' γάρ φησι 'λέγει κύριος τῇ Ἰδουμαίᾳ· ἀκοὴν ἤκουσα παρὰ κυρίου καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλα.'

Καὶ Ζαχαρ[ίας δὲ ὁ] προφήτης οὕτω φησί· 'τέρπου, εὐ-735 φραίνου, θύγατερ Σιών, διότι ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐ[ν μέσῳ] σου, καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον'· οἷς ἐπιλέγει, 'καὶ κατισχύσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν καὶ ἐν [τῷ ὀ]νόματι αὐτοῦ καυχήσονται, λέγει κύριος.'

Πολλὰ δ' ἄν τις καὶ ἕτερα ἀπὸ τῶν προφητικῶν καὶ Μω-740 σαϊκῶν βιβλίων ἀναλ[εγό]μενος ἐμφανιεῖ σοι, ὅτι καὶ παρ' αὐτοῖς τοῖς Ἰουδαίοις τοῖς ἕνα θεὸν ὁμολογοῦσί τε καὶ κηρύττουσιν ὁ τοῦ θεοῦ υἱ[ὸς] πῇ μὲν κρυφίως, πῇ δὲ τρανότατα ἐμπεφάνισται· καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον ἐν τοῖς βιβλίοις αὐτῶν ἀναγέγρα[πται]. ....

745 ....

4

Τοῦ αὐτοῦ τί τὸ κατ' εἰκόνα καὶ τί τὸ καθ' ὁμοίωσιν;

Ἁπάντων τῶν γενομένων μόνος ὁ ἄνθρωπος κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τοῦ πεποιηκότος πεποίηται. καὶ οὐ λεκτέον τὰ χαρακτηρίζοντα τὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν ἄνθρωπον ἐν 5 ταῖς ἁγίαις εἶναι δυνάμεσιν, οὔτε ταῖς ὑψηλοτέραις οὔτε ταῖς

731–733 Abd. 1 ‖ **734–737** Zach. 2,14 ‖ **737–738** ibid. 10,12
1 Gen. 1,26

4 L 102ʳ–103ᵛ **V** 36ʳ–37ᵛ **O** 440ʳ⁻ᵛ ‖ ed. K.-D. II 411–414 ‖ **1** τοῦ αὐτοῦ] **L**: τοῦ αὐτ(οῦ) ψελλ(οῦ) **V**: om. **O** ‖ **2** γεγονότων **O** ‖ **4** καὶ] καὶ καθ' **V**

ταπεινοτέραις. διὰ ταῦτα γὰρ ὁ σοφὸς ἐκεῖνος δημαγωγὸς
τοῦ Ἰσραὴλ καὶ τοῦ θείου πνεύματος ἔμπλεως συνέζευξε τῷ
κατ' εἰκόνα τὸ καθ' ὁμοίωσιν, ἵνα τὴν διαφορὰν παραστήσῃ
τοῦ ἀνθρωπείου γένους πρὸς τὰς ἀγγελικὰς καὶ ἀρχικὰς ὑπο-
στάσεις. τὸ μὲν γὰρ κατ' εἰκόνα ἐπὶ τοῦ φυσικοῦ λόγου λαμ- 10
βάνειν χρεών, ἐπιτηδειότητα πρὸς ἅπασαν ἀρετὴν ἔχοντος,
τὸ δὲ καθ' ὁμοίωσιν ἐπὶ τῆς ἀρετῆς, ὁπηνίκα τὴν ἐνδοθεῖσαν
τῇ ψυχῇ δύναμιν ἐν τύπῳ εἰκόνος προαγάγωμεν εἰς ἐνέργειαν
κατὰ τὸν λόγον τῆς ὁμοιώσεως. συνθέτοις γὰρ ἡμῖν οὖσι καὶ
κεκραμένοις καὶ μὴ εὐθὺς πλήρη τὴν τελειότητα ἔχουσιν ἐξ 15
ἀτελοῦς εἰς τὸ τέλειον ἡ πρόοδος γίνεται οὐ τῶν σωματικῶν
μόνον, ἀλλὰ καὶ τῶν ψυχικῶν. ἀγγέλοις δὲ ἁπλοῖς εὐθὺς γε-
γονόσιν ἀθρόα τούτοις καὶ ἡ τελειότης δέδοται, καὶ οὔτε
κατ' εἰκόνα οὗτοι θεοῦ ὥσπερ ἡμεῖς λεγόμεθα οὔτε καθ'
ὁμοίωσιν· οὐ γὰρ ἐπιτηδειότητα ἐνεργειῶν ἔρημον πρὸς ἀρε- 20
τὴν τῇ φύσει ἐσχήκασιν οὐδὲ τὸν φυσικὸν λόγον διὰ τῆς καθ'
ὁμοίωσιν κινήσεως προὐβίβασαν εἰς ἐνέργειαν. μόνος ἄρα ὁ
ἄνθρωπος κατ' εἰκόνα θεοῦ καὶ καθ' ὁμοίωσιν καὶ γεγένηται
καὶ ὠνόμασται, ἀγγέλοις δὲ ὑψηλότερον πάντως ἢ καθ' ἡμᾶς
τὸ θεοειδές τε καὶ θεοείκελον. 25

Ἀποδέχομαι μὲν γὰρ καὶ τὴν ἐνίων τῶν ἐξηγησαμένων τὸν
λόγον ἐπιβολήν, ἐπὶ τὴν ἀρχὴν τῶν λοιπῶν ζῴων ἐξειληφό-
των τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν διὰ τὴν εὐθὺς τοῦ εἰ-
ρηκότος ἐπαγωγήν· 'καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσ-
σης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ.' ἀλλ' εἰ ἐπὶ τῆς ἀρχῆς 30
μόνον τὰ εἰρημένα ταῦτα νοοῖντο ὀνόματα, κοινωνὸν ἕξομεν
τοῦ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν καὶ τὴν ἀγγελικὴν δύναμιν

6 ἐκεῖνος δημαγωγὸς] cf. supra 3,452 || **10–14** cf. infra 23,24–27 || **29–30** Gen. 1,26

13 τόπω **L** | τύπῳ] καὶ παραδείγματι add. **V** | προαγάγομεν **O** προσαγάγωμεν **L** || **15** κεκραμμένοις **V** || **17** μόνων **O** | ἁπλῶς **O**^{ac} | γε-γόνασιν **V** || **22** προὐβίβασεν **L** προβήβασαν **O**

καὶ τὴν κρείττονα· εἰκὸς γὰρ καὶ τοὺς ἀγγέλους καὶ τὰς ὑπὲρ αὐτοὺς τάξεις τὴν ἀρχὴν τῶν πάντων ἀνεζῶσθαι ζῴων.
35 Τί ποτ' οὖν ἡμῖν τὸ πρὸς ἐκείνους διάφορον; ἐγὼ γὰρ ὥσπερ ὅρον τοῦτο ἀνθρώπου γραφικὸν οἴομαι, ὅτι ἄνθρωπός ἐστι ζῷον τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν γενόμενον θεοῦ. καὶ εἰς τοῦτο ἐμοὶ φέρει τὸ 'ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐ-
40 τοῖς'· οὐδὲν δὲ ἧττον κἀκεῖνο, εἰ μὴ καὶ μᾶλλον, 'ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες, ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνῄσκετε καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.' μεσότης γάρ ἐστιν ἡ ψυχή, ὥσπερ τῶν ἀμερίστων καὶ μεριστῶν κατὰ τὰς Ἑλληνικὰς γλώττας, οὕτω δὴ καὶ τῶν κρειττόνων καὶ χειρό-
45 νων φύσεων· καὶ τῆς μὲν πρὸς τὰ κρείττονα ὁμοιώσεως ὁ φυσικὸς προηγεῖται λόγος, τῆς δὲ πρὸς τὰ χείρω μεταβολῆς ἡ πρὸς τὰ καλλίονα ἀδυναμία. οὐ γὰρ ἐγκατέσπαρται τῇ ἡμετέρᾳ ψυχῇ, ὥσπερ τοῦ κρείττονος δύναμις, οὕτω δὴ καὶ τοῦ χείρονος, ἀλλ' ἡ πρὸς τοῦτο μετάπτωσις ἐξ ἀσθενείας ἡμῖν
50 παραγίνεται, ὥσπερ ἂν εἴ τις ἡνίοχος ἐξασθενήσῃ τοὺς ὑπεζευγμένους ἵππους ἀναστέλλειν καὶ ἀνακρούειν τῷ χαλινῷ.

38–40 Ps. 48,13 ‖ **40–42** Ps. 81,6 ‖ **42–43** cf. Procl. Elem. 190; infra 5,80–81

34 αὐτὴν **L** | τὴν] καὶ τὴν **L** | ἁπάντων **V** | ἀνεζῶσαι **L** ‖ **37** τὸ κατ' εἰκόνα θεοῦ καὶ ὁμοίωσιν γενόμενον ζῶον trp. **V** ‖ **39** ὡμοιώθην **V** (ὁμοιώθη **O**) ‖ **40** δὲ] γὰρ **V** | εἰ καὶ μὴ **L** | εἶπον **V** ‖ **41** ὑψίστοι **O** ‖ **42** ἀρχόντων **L**, LXX: ἀγγέλων **VO** ‖ **44** τῶν χειρόνων **V** ‖ **45** καὶ eras. **V** ‖ **48** mg. **L**: ἀλλ' οὐ συνθήσομαί σοι πρὸς ταῦτα ἐγώ, σοφώτερε πάντων καθάπαξ ἀνδρῶν τῶν ὅσοι τοῦ καθ' ἡμᾶς γε καιροῦ, τὴν ἐξ ἀρετῆς ἀπόπτωσιν ἐξ ἀσθενείας ἐπιγεγενῆσθαι ἀποφαινομένῳ, ἐκ ῥαθυμίας δὲ μᾶλλον σεμνοποιήσας τὸν λόγον ὁ ἐρῶν. εἰ γὰρ τοῦτο δοίημεν κατά γε τὸν λόγον τὸν σόν, οὐ τοῖς καταμελήσασιν ἀρετῆς καὶ πρὸς τὸ ἄνετον ἀπιδοῦσι διὰ τὸ ταύτης σκληρὸν κατάκρισις ἕψεται διὰ ἀσθένειαν αὐτῆς ἐκπεσοῦσι· καὶ ἅμα εὐπρόσωπος ἂν εἴη τοῦτο ἀπολογία τοῖς ὅσοι τῆς ἀρετῆς οὐκ ἀντέσχοντο, πρὸς τὴν ἀκρότητα ταύτης ἀναβῆναι διὰ ἀδυναμίαν ἀτονήσαντες. ‖ **50** εἴ om. **L** | ἐξασθενήσει **O** ‖ **51** ἵππους om. **V**

Αὐτὸ γοῦν τοῦτό ἐστι δι' ὃ τοῖς χείροσιν ὁμοιούμεθα, μὴ συνιέντες ὅτι ἐν τιμῇ καθεστήκαμεν, ἥτις ἐστὶν ἡ δύναμις τῆς πρὸς τὰ κρείττονα ὁμοιώσεως· ἔνθεν τοι τὴν τοιαύτην ἠγνοηκότες φυσικὴν ἐπιτηδειότητα καὶ ἀπογινώσκοντες μὴ ἄν ποτε 55 ὁμοιωθῆναι θεῷ τοῖς κτήνεσι παραβαλλόμεθα καὶ προσομοιούμεθα. καὶ ὁ μὲν πλάσας εἰρήκει θεοὺς ἡμᾶς γενήσεσθαι, εἰ βουλοίμεθα (δέδωκε γὰρ ἡμῖν ἐμφύτους δυνάμεις τῆς πρὸς αὐτὸν ὁμοιώσεως καὶ θεώσεως), ἡμεῖς δὲ ὥσπερ ἀποδειλιῶντες τῆς τοιαύτης ἐπιβῆναι κλίμακος τῆς ἀθανατιζούσης καὶ 60 ἀποθεούσης ἡμᾶς, τοῖς χαμαιζηλοτέροις ἐπισυρόμεθα τοῦ θείου ἀποπίπτοντες ἀξιώματος.

Δυοῖν γοῦν τούτοιν ὀνομάτοιν, τοῦ τε κατ' εἰκόνα καὶ τοῦ καθ' ὁμοίωσιν, τὸ μὲν οἷον δύναμίς τίς ἐστι, τὸ δ' οἷον ἐνέργεια· καὶ τοῦ μὲν κατ' εἰκόνα πάντες ἐπίσης μετέχομεν, τοῦ 65 δὲ καθ' ὁμοίωσιν οἱ τελειωθέντες δι' ἀρετῆς τε καὶ γνώσεως. τῷ μὲν οὖν Μωυσῇ οἶμαι ἀπεριεργότερον συνεζεῦχθαι τοῖς ὀνόμασι τὰς προθέσεις· ταὐτὸν γὰρ ἐμοὶ ἐνταῦθα δύναται τὸ εἰκόνα εἰπεῖν τῷ κατ' εἰκόνα καὶ τὸ ὁμοίωσιν τῷ καθ' ὁμοίωσιν. Ὠριγένης δὲ καινοτομεῖ ταῦτα καὶ οἷον εἰπεῖν τυραννεῖ, 70 ἄλλο μὲν τιθεὶς τὸν θεὸν καὶ ἄλλο τὴν εἰκόνα καὶ ἄλλο τὸ κατὰ τὴν εἰκόνα, καὶ ἄλλο μὲν τὸ πρὸς ὃ τελεώτερον ὁμοιούμεθα, καὶ ἄλλο τὴν ὁμοίωσιν καὶ ἄλλο τὸ ὁμοιούμενον. καὶ πρῶτα μὲν εἰκόνας καὶ ὁμοιώσεις τίθεται τοῦ θεοῦ τοὺς ἀγγέλους ἢ καὶ τὰς ἄλλας δυνάμεις, ἡμᾶς δὲ ὡς ἐλάττους ἐκεί- 75 νων κατὰ τὴν εἰκόνα αὐτῶν γεγενῆσθαι καὶ κατὰ τὴν ὁμοίωσιν. εἶτα δὴ προβαίνων καὶ ἀσεβεῖν ἐπιγχειρεῖ ἄντικρυς· εἰκόνα γὰρ τοῦ ἀοράτου θεοῦ τὸν μονογενῆ λόγον κατὰ τὴν

70 sqq. cf. Orig. Hom. in Luc. VIII,48–49 Rauer || **78–79** Col. 1,15

52 μὴ **VO**: οὐ **L** || **53** ἡ om. **O** || **63** δυεῖν **L** || **64** τίς om. **L** || **67** μωυσεῖ **O** μωσεῖ **V** | συνζεῦχθαι **L** || **68** ἐμοὶ] εἰμὶ **O** | ἐνταῦθα] εἰπεῖν add. **L** || **68–69** τῶ κατ' εἰκόνα εἰπεῖν τὸ εἰκόνα trp. **V** || **71** καὶ ἄλλο[1]] ἄλλο δὲ **V** || **74** εἰκόνα καὶ ὁμοίωσιν **V**

ἀποστολικὴν φωνὴν τιθέμενος οὐ κατὰ τὸ ἀπαράλλακτον τῆς
80 φωνῆς ἀκούει, καί φησιν ἡμᾶς κατ' εἰκόνα γεγενῆσθαι θεοῦ,
ἤτοι μὴ εὐθὺς τῷ πατρὶ ἐξεικονίζεσθαι, ἀλλὰ τῇ ἐκείνου εἰ-
κόνι, τῷ μονογενεῖ. τραπείη ἐπὶ τὴν κεφαλὴν ὁ λόγος αὐτῷ·
ταὐτὸν γάρ ἐστιν ἡμῖν τὸ κατ' εἰκόνα γεγενῆσθαι τοῦ υἱοῦ
καὶ τὸ κατ' εἰκόνα τοῦ πατρός, μᾶλλον δέ, ἐφ' ὁπόσον ἄν τις
85 ἀφομοιοῦται τῷ υἱῷ, ἐπὶ τοσοῦτον τῷ πατρὶ καὶ τῷ πνεύματι.
Τοιοῦτόν ἐστιν ἡ περιττὴ σοφία καὶ ἡ πολυπραγμοσύνη
τῶν λέξεων. ὁ γὰρ ἀνὴρ οὗτος ἀπὸ τῶν Πλατωνικῶν καὶ Ἀρι-
στοτελικῶν ἀδολεσχιῶν ἐς τὰς ἱερὰς ἡμῶν παρακύψας αὐλὰς
πᾶσαν ἡμῖν ἐκεῖθεν περιττολογίαν καὶ δεινότητα ἐπεσύρατο,
90 καὶ τῷ δόξαι βουληθῆναι συνιδεῖν τὸ μαχόμενοιν καὶ τὸ ἀκό-
λουθον καὶ δεινὸς ἐντεῦθεν τοῖς πολλοῖς νομισθῆναι πᾶσαν
τὴν ἱερὰν γραφὴν ἐκαπήλευσε καὶ συνέχεε. λέγω δὲ οὐ
πάντα τοῦ ἀνδρὸς κατηγορῶν· ἔστι γὰρ ὅπῃ διασχίζει τὸ
γράμμα ἠρέμα καὶ ἀνακαλύπτει τὸ πνεῦμα· ἀλλὰ τὰ πλείω
95 τοῦ ἄγοντος γινόμενος πνεύματος ἐς κρημνοὺς ἐκπίπτει τῆς
λεωφόρου ἀποτρεπόμενος. μὴ σύ γε τούτῳ τῷ ἀνδρὶ θαμὰ
προσομίλει, ἀλλ' εἴ γε βούλοιο σαφῶς εἰδέναι τὰ θεῖα, τοῖς
τοῦ θεολόγου Γρηγορίου λόγοις ἐμβάθυνε. μόνος γὰρ οὗτος
κατ' ἐμὴν δόξαν πᾶσαν σοφίαν τοῖς ἑαυτοῦ συνεισήνεγκε λό-
100 γοις καὶ κρατῆρα πᾶσιν ἐστήσατο θεοσεβείας καὶ λογιότη-
τος, ὥστε πάντας μὲν ἀκορέστως πίνειν, ἐκεῖνον δὲ λήγειν
μηδέποτε.

80–82 cf. Orig. Hom. in Gen. I,13,19 sqq.

80 καί – θεοῦ] bis **O** ‖ **82** τῷ] ἤγουν τῶ **V** ‖ **84** καὶ om. **O** ‖ **88** εἰς **O** ‖ **90** τῷ] τὸ **O** ‖ **93** δισχίζει **V** ‖ **95** εἰς **O** ‖ **96** τῶ ἀνδρὶ τούτω trp. **V** ‖ **97** σαφῶς **V**: σοφῶς **LO** ‖ **99** συνήνεγκε **O** ‖ **101** μὲν om. **L** | fort. πιεῖν expectes clausulae gratia | ἐκείνην **V**

5

Πρὸς τὸν εἰπόντα μελῳδόν, ὅτι ⟨τὸ⟩ σῶμα κατ' εἰκόνα γεγένηται τοῦ θεοῦ· {ἔνθα καὶ περὶ ψυχῆς· εὑρέθη δὲ οὕτως ἀτελές}

Ὡς ἄρα λίαν σοφῶς ὁ τυπικὸς νόμος τοῖς ἐφήβοις τῶν Ἰουδαίων ἐκέκλειστο καὶ μόνοις ἀνέῳκτο τοῖς ἤδη γεγυμνασμένοις τὰ αἰσθητήρια καὶ διὰ τὴν τῆς ἡλικίας τελειότητα συμπεπληρωμένον τὸν λόγον ἔχουσι. δημοσιευόμενα γὰρ τὰ κεκρυμμένα τῶν γραφικῶν ἐννοιῶν ἐπιβλαβῆ μᾶλλον τοῖς ἀτελέσιν ἢ ἐπωφελῆ πέφυκε. καὶ Διονύσιος δὲ ὁ τὴν θεολογίαν πολὺς εἰς δύο τὴν νοητὴν οὐσίαν διῄρηκεν, εἴς τε ἀποφαντικὴν ἐκφαντορίαν καὶ εἰς συμβολικὴν θεοτυπίαν· καὶ δεῖ καὶ τὸν ὡς ἀληθῶς θεολόγον ἄνδρα τὰ μὲν τῶν ὑψηλοτέρων ἐννοιῶν δημοσιεύειν τῷ γράμματι, τὰ δὲ περικαλύπτειν συμβόλοις τε καὶ αἰνίγμασιν. ἀλλ' οἱ πλείους τῶν φυσιολογησάντων ἢ θεολογησάντων ὑπὸ τῆς ἄγαν περὶ τὸ διδάσκειν φιλοτιμίας μηδέν τι τῶν ἀνεφίκτων περικαλυψάμενοι πρὸς πάντας ἁπλῶς ἀπεφήναντο. τοῦτο δὲ καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος καὶ ὁ ἑταῖρος αὐτοῦ Βασίλειος καὶ ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης πεποιηκότες πολλαχοῦ φαίνονται, ὁ μὲν ἐν οἷς τὴν μονάδα κινουμένην καὶ τῇ τριάδι περατουμένην ποιεῖ, ὁ δὲ ὅπου τέλειον εὐθὺς τὸ κυριακὸν δογματίζει σῶμα, ὁ δὲ ἔνθα τὸ πρόσλημμα μὴ ὕλην, ἀλλὰ μέρος τοῦ προσλαβόντος ἀποφαίνεται. πάντα μὲν γὰρ δογματικῆς ἀκριβείας ἐχόμενα,

4–9 cf. Greg. Naz. Or. 32,32 (Moreschini); Or. 2,48 (Gallay) ‖ **5–6** cf. Hebr. 5,14; infra 6,133–134 ‖ **10–11** Ps.-Dionys. Myst. theol. PG 3,1033 B; cf. Cael. hier. ibid., 141 A ‖ **19–20** cf. Greg. Naz. Or. 29,2 (Gallay)

5 **L** 106r–108r **m** 318v–320r (ll. 52–153) ‖ ined. ‖ **1–2** tit. sec. **m** (aut genuinus aut saltem ad rem pertinens): om. **L** | τὸ Wk. ‖ **2–3** secl. Wk. (v. app. ad 153)

οἱ δὲ πλεῖστοι ὀλίγα ἂν ἀπὸ τούτων ὀνίναιντο διὰ τὸ τῶν
25 θεωρημάτων ἀδιεξίτητον πέλαγος.

Ταύτην δὴ μοι δοκεῖ τὴν ἀπερικάλυπτον ἀλήθειαν καὶ ὁ ἐπὶ τοῖς κατοιχομένοις ὕμνος ἔχει, οὗ εἴτε ὁ ἐκ Δαμασκοῦ Ἰωάννης πατήρ ἐστιν εἴθ' ἕτερος, ἀγνοῶ. πολλὴν δὲ τὴν ἀμφιβολίαν δίδωσιν ἐκεῖνο τὸ μέρος, ἔνθα φησὶ τὸ κείμενον ἐν
30 τοῖς μνήμασιν ἀμορφότατον σῶμα ὡραῖον εἶναι καὶ κατ' εἰκόνα δεδημιουργῆσθαι τοῦ πλάσαντος. πῶς γὰρ ὡραῖον τὸ ἤδη διερρυηκός, πῶς δὲ εἰκὼν τοῦτο τοῦ ἀσωμάτου θεοῦ; ἡ γὰρ εἰκὼν ὁμοιότητα ἔχει πρὸς τὸ παράδειγμα, τὸ δὲ ἡμέτερον σῶμα, καὶ μάλιστα γενόμενον ἄψυχον, οὐδεμίαν σῴζει
35 πρὸς τὸ ἀρχέτυπον τὴν ἔμφασιν. ἄνευ δὲ τῶν λογικῶν τούτων μεθόδων καὶ τῷ νομοθέτῃ προδήλως ἀντιτάττεται ὁ τοῦ ὕμνου γεννήτωρ, εἴ γε οὗτος μὲν τὸ σῶμα, ἐκεῖνος δὲ τὴν ψυχὴν λέγει κατ' εἰκόνα γεγενῆσθαι τοῦ πλάσαντος.

Ἔδει μὲν οὖν σιγῆσαι τὸν τὴν ᾠδὴν ἐργασάμενον καὶ μη-
40 δέν τι δογματικώτερον ἐπὶ τοῖς γοεροῖς φθέγξασθαι μέλεσιν. οἱ γὰρ ῥυθμοὶ καὶ αἱ μονῳδίαι καὶ τὰ ἐλεγεῖα τῶν θρήνων οὐ δογματικαῖς ἐννοίαις ἢ λέξεσιν ἀσαφέσιν, ἀλλὰ λελυμέναις ἁρμονίαις καὶ μαλακοῖς φθόγγοις καὶ ἐπικεκλασμένοις ἁρμόζονται. ἐπεὶ δὲ ὁ τὸν λόγον τοῦτον ξυνθεὶς οὐκ ἐπέθηκεν
45 ἡνία τῇ γλώττῃ, ἀλλὰ φαύλως τὸ καλὸν ἀπεφθέγξατο, ἡμᾶς χρὴ τοὺς ἐκδεξαμένους τὸν λόγον τὸ κεκρυμμένον ἐκκαλύψαι τοῦ θεωρήματος.

Ἐν γοῦν τῷ κόσμῳ τὰ μὲν ἑστᾶσιν ὡς παραδείγματα, τὰ δὲ πρώτως πρὸς ἐκεῖνα ἀπεικονίζονται, τὰ δὲ κατὰ δευτέ-
50 ρους καὶ τρίτους λόγους τὴν πρὸς τὸ πρωτότυπον σῴζουσιν ὁμοιότητα, εἴδωλα εἰδώλων καλούμενα. καὶ ὁ λόγος σαφὴς

29–30 Euchologion sive Rituale Graecorum[2], ed. J. Goar, 429 || **36** νομοθέτῃ] Gen. 1,26; cf. supra op. 4

27 scr. ἔχειν? || **48** ab ἐν incipit **m** | γοῦν om. **m** || **49** πρότερον **m** | ἐκεῖνα L: εἰκόνα **m** || **49–50** δευτέρους καὶ τρίτους L: δεύτερον λόγον τοὺς **m**

ἐπὶ τῶν παραδειγμάτων γενήσεται. καὶ πρῶτόν γε τῶν ἀνθρωπικῶν ἀνεμάξατο ὁ ζωγράφος ἀπὸ τῆς πρωτοτύπου σανίδος ἐν τῷ παρ' ἐκείνου γενομένῳ ἀπεικονίσματι· τοῦτο εἰκὼν πρώτη τῆς πρώτης ἰδέας καὶ εἴδωλον ἄμεσον. ἕτερος 55 αὖθις τὴν εἰκόνα ἀπεμιμήσατο· δεύτερον τοῦτο τοῦ πρωτοτύπου ὁμοίωμα. καὶ τὸ μὲν εἰκὼν κατὰ τὸ πρωτότυπον, τὸ δὲ ὁμοίωμα κατὰ τὴν εἰκόνα. καὶ νοῦς ἀρχέτυπον ἐφέστηκε τῷ παντί, ψυχὴ δὲ ἐκτύπωμα νοῦ, φαντασία δὲ ψυχῆς ὁμοίωμα, καὶ ταύτης ἡ μνημονικὴ δύναμις, ὥσπερ τῆσδε ἡ ἀναμνη- 60 στική. ἡ μὲν οὖν ψυχὴ κατὰ τὸν νοῦν, ἡ δὲ φαντασία κατὰ τὴν ψυχήν, αἱ δὲ λοιπαὶ ὑποβεβηκυῖαι δυνάμεις κατὰ τὴν προσεχῆ, καὶ προχωροῦσιν ἄχρις αὐξήσεως καὶ γεννήσεως. οὐδὲν γὰρ ἥμαρτεν ὁ εἰρηκὼς κατὰ τὴν εἰκόνα θεοῦ γεγενῆσθαι τὸ σῶμα. ἡ μὲν γὰρ ψυχὴ εἰκὼν θεοῦ λόγοις ἀπορρήτοις 65 κατὰ τὸν νομοθέτην Μωσῆν, τὸ δὲ σῶμα κατὰ τὴν ψυχὴν ἤτοι κατὰ τὴν εἰκόνα τοῦ θεοῦ. οὐ τοίνυν πρὸς τὸν θεὸν τὴν ἀναφορὰν ὁ λόγος ἔχει, ἀλλὰ πρὸς τὴν ψυχήν, ἀπεικόνισται γὰρ κατ' ἐκείνην τὸ συμφυὲς ταύτῃ σωμάτιον.

Ἀλλὰ πῶς ἀπεικόνισται; πάλιν ἂν τις ἐνσταίη· τὸ μὲν γὰρ 70 ἐξ ὕλης καὶ σύνθετον, ἡ δὲ ἁπλῆ τε καὶ ἄυλος, καὶ τὸ μὲν γενέσει ὑπόκειται, ἡ δὲ τῆς τοῦ κυρίως ὄντος μετέχει οὐσίας, καὶ τὸ μὲν φθείρεται καὶ ἀπόλλυται, ἡ δὲ μένει ἀίδιος. πρὸς δὲ ταύτην τὴν ἀπορίαν καὶ σοφωτέραν καὶ κεκρυμμένην καὶ αὖθις κοινὴν καὶ καθωμιλημένην λύσιν ἐπάγομεν. ἡ μὲν οὖν 75 σοφωτέρα, ὅτι μηδὲ ἡ ψυχὴ ἁπλῆ πάντῃ καὶ ἀμέριστος, ἀλλὰ

65–66 cf. supra ll. 37–38

53 leg. ἀπὸ τῆς τοῦ? ‖ **54** ἐκείνη **m** ‖ **55** πρώτης] ᾱ' **L**, ᾱ[ης] **m** ‖ **56** ᾱτύπ( ) **L**, ἀρχετύπου **m** ‖ **60** μνημονευτικὴ **m** ‖ **61** τὸν om. **m** ‖ **62** τὴν[1] om. **m** ‖ **63** προχωροῦσιν **m**: προχωροῦ( ) **L** ‖ **64** γὰρ **L**: γοῦν **m** | τοῦ θεοῦ **m** ‖ **68** ἀπεικόνισμα **m** ‖ **70** πάλιν **L**: πάλιν γὰρ **m** | ἐνσταίη] ἐν s.v. **L** ‖ **72** ἡ **m**: τὸ **L** ‖ **74** κεκρυμμένων **m** ‖ **75** ἐπάγωμεν **m** ‖ **76** πάντῃ ἁπλῆ trp. **m** | ἀλλὰ **L**: ἀλλὰ καὶ **m**

κατὰ Πλάτωνα καὶ κατὰ τὸν μέγαν Πλωτῖνον καὶ κατὰ τὴν Ἰαμβλίχου φιλοσοφίαν, καὶ ὡς αὐτὸς ὁ Πορφύριος ἐν ταῖς Πρὸς τὰ νοητὰ ἀφορμαῖς διατάττεται, οἷς δὴ καὶ Πρόκλος
80 συνηκολούθησε, 'τῆς ἀμερίστου καὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας καὶ τῆς αὖ περὶ τὰ σώματα μεριστῆς μέσον' ἐστὶν ἡ ψυχή. ὁ μὲν γὰρ νοῦς κυρίως ὂν καὶ οὐσία ἀμέριστος, τὰ δὲ σώματα γιγνόμενά τε καὶ ἀπολλύμενα καὶ πάντῃ μεριστὰ καὶ διαστατά· ἡ δὲ ψυχὴ οὔθ' οἷον ὁ νοῦς οὔθ' οἷα τὰ σώματα,
85 ἀλλὰ τοῦ μὲν ὑποβέβηκε μὴ ὁμοῦ πάντα νοοῦσα, ἀλλ' ἀφ' ἑτέρου χωροῦσα πρὸς ἕτερον καὶ μεριστὴ γινομένη ταῖς μερικαῖς ἐννοίαις, τῶν δὲ ὑπερβέβηκεν, ὅτι μὴ οὕτως κατὰ διάστασιν ἡ φύσις αὐτῆς, ῥεύσασα δὲ πρὸς τὸ σῶμα ἐξ ἀνάγκης τούτῳ συμμερίζεταί τε καὶ συνδιίσταται. ἐπεὶ οὖν μεριστὸν
90 πάντῃ τὸ σῶμα, οὐκ ἀποβέβηκε δὲ τοῦ μεριστοῦ οὐδὲ ἡ ψυχή, εἰκών ἐστι τὸ σῶμα ψυχῆς, ὡς ἐκείνη τοῦ νοῦ· καὶ πρῶτον μὲν εἴδωλον νοῦ ἡ ψυχή, δεύτερον δὲ τὸ σῶμα, ὥσπερ ἐκείνης πρῶτον, εἰ μήπερ ἡ φύσις μεσεμβολήσῃ.

Οὗτος μὲν οὖν ὁ κεκρυμμένος λόγος καὶ τέως ἀπόρρητος
95 τοῖς πολλοῖς, ὁ δὲ κατημαξευμένος καὶ ταῖς τῶν πολλῶν ἐννοίαις ἐγκείμενος· ἀναλόγους αἰσθήσεις ταῖς σωματικαῖς καὶ ἡ τῆς ψυχῆς οὐσία προβάλλεται, καὶ ταύτῃ γὰρ ὀφθαλμὸς τῶν ἀθεάτων θεωρός, καὶ δύναμις ἀκουστική, ᾗ δὴ τὸ θεῖον ἐνηχεῖται μέλος, καὶ ὄσφρησις εὐωδίαν ἕλκουσα νοεράν, καὶ
100 στόμα καὶ λάρυγξ, ᾧ τὰ τοῦ θεοῦ λόγια 'ὑπὲρ μέλι καὶ κη-

77 Plat. Tim. 35a | Plot. Enn. I 1,8,11–12 || **78** Porphyr. Sent. 5,1–2 || **79** e.g. Procl. In Tim. II 119,25 sqq.; 151,24 sqq.; Elem. theol. 190 || **80–81** Plat. Tim. 35a; cf. Psell. Omnif. doctr. 64,8–11; supra 4,42–43 || **89** cf. Philop. In De an. 121,29 || **100–101** Ps. 118,103

79 δὲ **m** || **80** συνεξηκολούθησεν (-ξ- in -π- ut vid.) **m** | τὰ αὐτὰ **m** || **81** τὰ σώματα] Plato: τοῦ σώμ( )τ( ) **L**: σώματος **m** || **83** ἀπολύμενα codd. || **85** μὴ – **87** ὑπερβέβηκεν **m**: om. **L** || **87** οὕτω **m** || **88** πρὸς τὸ σῶμα om. **m** || **90** δὲ om. **m** || **93** ἐκείνη **m** | μεσεμβολή( ) **L** μεσομβολήσει **m** || **96** ἀναλόγους αἰσθήσεις **m**: ἀναλόγως αἰσθήσεσι **L** || **98** ἀθεόντων ut vid. **m**

ριον' λογίζεται, καὶ ἀφὴ νοητή, δι' ἧς δὴ 'ψηλαφᾷ περὶ τοῦ λόγου τῆς ἀληθείας', ὡς ὁ θεῖος λέγει χρησμός. εἰκὼν οὖν καὶ κατὰ τοῦτον τὸν λόγον τὸ σῶμα τῆς ψυχῆς, ὥστε οὐκ ἀπεικότως εἴρηκεν ὁ μελῳδήσας τὸν θρῆνον τὸ διαρρυὲν σῶμα κατ' εἰκόνα γεγενῆσθαι τοῦ δημιουργήσαντος. 105

Ἀλλ' ἐπεὶ εἰς τὸν περὶ τοῦ εἰδώλου λόγον πεπτώκαμεν, τουτὶ δὲ τὸ ὄνομα γλώσσαις μὲν ἁπάσαις προβέβληται, οὐδέπω δὲ καὶ νῦν σεσαφήνισται, ἀλλ' ἔστιν οὗ καὶ διαφόροις ἐννοίαις ἐκφέρεται, χρεὼν εἰπεῖν τί ποτε τοῦτό ἐστιν καὶ ὁπόθεν εἴληφε τὴν συνθήκην. πῇ μὲν γὰρ εἴδωλα τῶν σωμάτων φαμὲν τὰς ψυχάς, καὶ ῥήτορα εἰδωλοποιὸν ὀνομάζομεν τὸν ταῖς ἀπελθούσαις τῶν σωμάτων ψυχαῖς λόγους περιτιθέμενον· φιλόσοφοι δὲ ξύμπαντες τὰ χείρονα εἴδωλα τῶν κρειττόνων φασίν. οὕτω γὰρ κἀπὶ τῆς συνηθείας ἐστὶν ἰδεῖν· τόδε μὲν γὰρ τὸ χαλκούργημα Ἡρακλέους εἴδωλον, τόδε δὲ Θεσέως, καὶ ἡ χαλκῆ λύκαινα ἡ τοὺς μασθοὺς σπαργῶντας ὑποτιθεῖσα τοῖς οὕτω βρέφεσι ποιήματα μὲν παλαιᾶς ἐργασίας, εἴδωλα δὲ ἀληθείας, καθ' ἣν Ῥῶμος καὶ Ῥωμύλος ὑπὸ τοῦ Φαιστύλου ῥιφθέντες ἐπὶ τὴν ἀκτὴν τοὺς μασθοὺς τῆς ζώσης λυκαίνης εἵλκυσαν. 110 115 120

Τίς οὖν ὁ τῆς διαφορᾶς λόγος; ἔγωγ' οὖν φημι πρῶτος καὶ λογισάμενος καὶ νῦν ἐκτιθέμενος, ὡς ἡ ψυχὴ σώματος οὐ πέφυκεν εἴδωλον, ἀλλὰ τὸ σῶμα ψυχῆς ὡς χεῖρον κρείττονος.

101–102 Ep. Ioann. 1,1 || **111–112** cf. Hermog. Progymn. 9, p. 20,14–16 || **113–114** cf. Psell. Theol. I, opusc. 11,25–28 (e Proclo) || **116–120** Dionys. Halic. Antiq. Rom. I cap. 79, par. 6–10

103 ὡς **m** || **106** ἐπειδὴ **m** | τῶν εἰδώλων **m** | λόγον πεπτώκαμεν **m**: om. **L** || **108** καὶ[1] **m**: om. **L** || **110** τὴν συνθήκην εἴληφεν trp. **m** | εἴδωλα **m**: εἴδωλον **L** || **112** λόγον **m** || **115** γὰρ om. **m** | χαλκούργευμα **L**: χάλκεον ἄγαλμα **m**: corr. Wk. | δὲ **m**: om. **L** || **116** καὶ – **117** ἐργασίας om. **m** || **118** εἴδωλα **m**: εἴδωλ( ) **L** || **119** ῥιφέντες **m** | μαστοὺς **m** || **121** οὖν[1] **L**: ἂν **m** | ἔγωγ' **L**: εἰκὼν **m** | πρῶτος] ᾱ^α **m**

ἐπεὶ δὲ αἱ ψυχαὶ φανταζόμεναι σωματικοῖς ἀποτυποῦνται
125 μορφώμασι πρὸς τὴν τῶν ὁρώντων δύναμιν, ἀσαφέσι μέντοι
καὶ συγκεχυμένοις καὶ τὸ ὅλον σκιοειδέσι, διὰ ταῦτα λέγον-
ται τῶν σωμάτων εἴδωλα. σῶμα μὲν γὰρ καὶ τὸ σχῆμα ὄρ-
θιον καὶ τὴν ἁφὴν στερρὸν καὶ ἀντιτυπὲς καὶ τὸ χρῶμα
ἐνίοις λευκόν, βαρὺ δὲ καὶ γεῶδες καὶ ἀέρι μὴ ἐποχούμενον·
130 ἡ δὲ τοῦ Πολυδώρου ψυχὴ οὐχ οὕτως τῇ Ἑκάβῃ ἐφαίνετο,
ἀλλὰ ζοφερὸν καὶ σκιᾷ παρόμοιον καὶ δυσείκαστον. διὰ γοῦν
τὴν τοιαύτην μόρφωσιν τὴν ἀσαφῆ καὶ συγκεχυμένην εἴδωλά
φασιν οἱ σοφοὶ τὰς ψυχὰς τῶν σωμάτων. καὶ Πλάτων γοῦν ἐν
τῷ Φαίδωνι τὰ ἐν τοῖς τάφοις φαινόμενα 'σκιοειδῆ φάσματα'
135 ψυχὰς φιλοσωμάτους ὠνόμασεν, ὡς μηδὲ μετὰ τὴν ἐντεῦθεν
ἀποδημίαν πρὸς τὸ καθαρὸν ἀνιούσας φῶς, ἀλλ' ἔτι τῶν σω-
μάτων ἐχομένας, ἃ δὴ διὰ τὰς ἀνδραποδώδεις ἠγαπήκασιν
ἡδονάς. διὰ ταῦτα μὲν οὖν εἴδωλον σώματος ἡ ψυχή· αὖθις
δὲ σῶμα ψυχῆς εἴδωλον, ὅτι ὅπερ τούτῳ ὁ ὀφθαλμός, ἐκείνῃ
140 ὁ νοῦς, καὶ ὃ τούτῳ ἁφή, ἐκείνῃ δύναμις ἐξεταστική. καλλίων
δὲ νοῦς ὀφθαλμοῦ καὶ νοερὰ ζήτησις δυνάμεως ἁπτικῆς· διὰ
ταῦτα πάλιν εἴδωλον τὸ σῶμα ψυχῆς. τὸ δὲ ὄνομα τοῦτο ὁ
Χριστιανικὸς ἐμυσάχθη θεσμός, ὅτι δὴ τοῖς Ἑλληνικοῖς ἐπε-
φημίσθη εἰκάσμασιν.
145 Ὡραῖον δὲ τὸ σῶμα τῷ θρηνῳδήσαντι εἴρηται, οὐ τὸ ἤδη
διερρυηκὸς καὶ διαλυθὲν ἐν τοῖς μνήμασιν, ἀλλὰ τὸ παρὰ
θεοῦ πλασθὲν καὶ πρὸς ζωογονίαν γενόμενον ἐπιτήδειον.
ὡραῖον δὲ τοῦτο καὶ κατὰ τὴν μορφήν· τί γὰρ σώματος
ἀνθρωπικοῦ κάλλιον; ὁπότε καὶ μάλιστα ἁβρῶς ἔχει καὶ τοῦ

130 Eurip. Hec. 1–58 || **134** Plat. Phaed. 81d2

126 ὅλον] εἰπεῖν add. **m** | σκιώδεσι **m** || **127** μὲν om. **m** | ὄρθριον **m** || **128** ἀντίτυπον **m** || **129** ἐνίοις **m**: ἔνι **L** | δὲ **L**: τε **m** | καὶ[1]] ἀντιτυπὲς καὶ add. **L** || **130** οὕτω **m** || **138** σώματος **m**: σωμ(')τ( ) **L** || **139** τὸ σῶμα **m** | ὅτι ὅπερ **m**: ὅτιπερ ὃ **L** || **141** ὀπτικῆς **m** || **142** τοῦτο **m** | πάλιν **L**: πλέον **m** || **143** ἐμυσσάχθη **L** | θεσμός **L**: ἐσμός **m** (bis scr.) | ἐπεφημίσθαι **m** || **145** τὸ ἤδη **L**: τὰ εἴδη **m** || **148** καὶ om. **m** | τὴν om. **m** || **149** ἀνθρώπου **m**

ὄγκου καὶ τῆς μορφῆς, καὶ ἡ μὲν τῆς κεφαλῆς θρὶξ πρὸς κόχ- 150
λου Τυρίας ἀντερίζοι χροιάν, μᾶλλον δὲ ἡλιακαῖς προσαμιλ-
λᾶται ἀκτῖσιν, ἡ δὲ ὀφρῦς τοῦ μετώπου προβεβλημένη τόξου
δίκην εὐφυῶς ὑπὲρ τὰ ὄμματα κέκαμπται, ταῦτα δὲ αὖθις
ὑποκαθήμενα χαροπῷ ἀποστίλβει τῷ χρώματι, ἀμφοτέροις
δὲ ἡ ῥὶς μεσιτεύουσα οὔτε τοῖς χείλεσιν ἐπικέκαμπται οὔτε 155
ἄνω μετεωρίζεται τὸ δὲ {τὸ} λοιπὸν σῶμα ὑγροφυῶς λυγιζό-
μενον εὔαρθρόν τε καὶ εὐάρμοστον ταῖς ἁρμονίαις τυγχάνει,
οἵ τε δάκτυλοι οὐδέν τι τῶν Ἀλεξάνδρου τοῦ Πηλοπλάτωνος
ἀποδέουσιν, οἳ δὴ ἀκριβῶς 'τῇ τοῦ λόγου ἡνίᾳ ἐπέπρεπον'.
ὡραῖον μὲν οὖν καὶ κατὰ τοῦτο τὸ συγκείμενον ἡμῖν σῶμα, 160
μᾶλλόν γε μὴν τούτου μετέχον ἐστὶ τοῦ ὀνόματος, ὁπόταν
πλασθὲν ἐπιτηδείως πρὸς ψυχῆς ὑποδοχὴν γένηται, ὥσπερ
δὴ χορδὴ εὖ συστραφεῖσά τε καὶ ταθεῖσα τοῦ μέλους.

Τὸ μὲν οὖν ἐρώτημα βραχύ τε καὶ εὐσύνοπτον, ἡμεῖς δὲ ἔν-
νοιαν ἐξ ἐννοίας καὶ λόγον ἐκ λόγου ἀμείβοντες, οὐκ ἀκαίρως 165
καὶ φιλοτίμως, ἀλλ' εὐκαίρως ὑμῖν καὶ ἄγαν ὠφελίμως ἐς
τοσοῦτον μῆκος ἡπλώσαμεν. δεῖ οὖν ὑμᾶς οὐχ ἧττον τῶν
προσφυῶν ἐννοιῶν τὰ πάρεργα ἀναλέγεσθαι· ἔσται γὰρ
ταῦτα ἑτέραις ὑποθέσεσιν αὖ προσφυῆ.

156–157 Aristaen. I 1,39 ‖ **158–159** Philostr. Vit. soph. II 76,26–27; 77,10–11

151 τυρείας **L** | προσαμιλᾶται **m**: παραμιλλᾶται **L** ‖ **152** μετώπου **L**: προσώπου **m** ‖ **153** κέκαμπται· καὶ τὰ λοιπὰ τῆς περιγραφῆς **m**, qui hic des. ‖ **156** τὸ[2] del. Wk. ‖ **158** τῶν Wk.: τοῦ **L** ‖ **167** ὑμᾶς Wk.: ἡμᾶς **L**

6

Τοῦ αὐτοῦ εἰς τὸ 'πρῶτον μὲν γὰρ εὐλαβεῖσθαι ἄξιον, μὴ φαινοίμεθα τῆς θαυμασίας ἀρετῆς κακοὶ ζωγράφοι, μᾶλλον δὲ ζωγράφων οὐ φαύλων ἴσως, τῶν δὲ πολλῶν, φαῦλον ἀρχέτυπον'· πρός τινας ἐρωτήσαντας

5 Ῥητορικὸν ὁμοῦ τὸ πρόβλημα ὑμῶν καὶ φιλόσοφον· τὸ μὲν γὰρ ὅσον κατὰ τὴν σύμφρασιν καὶ τὴν τῶν λέξεων ἔλλειψιν περιοδικόν τέ ἐστι καὶ συνεστραμμένον καὶ ὅ φασι στρογγύλον οἱ ῥήτορες· τὸ δ' ὅσον κατὰ τὴν ἔννοιαν δογμάτων μεγέθους ἅπτεται καὶ τὸν περὶ τῶν ἀρετῶν γυμνάζει λόγον καὶ 10 ὅπως δεῖ ταύτας μετιέναι τὸν ὡς ἀληθῶς ὑποβάλλει φιλόσοφον.

Τοιοῦτος γὰρ ὁ μέγας οὗτος ἀνήρ, οὐχ ὡς ὁ Δημοσθένης ἢ ὁ Σταγειρίτης φιλόσοφος· τούτων μὲν γὰρ ἑκάτερος μονοειδὴς καὶ προσκορὴς πέφυκεν, ὁ μὲν Δημοσθένης μηδαμῶς φι- 15 λόσοφον ὑποβαλλόμενος ἔννοιαν ἢ ἐν ὀλίγοις χωρίοις δή τισιν, ὁ δ' Ἀριστοτέλης θεολογῶν μὲν ἧττον, φυσιολογῶν δὲ μᾶλλον, καὶ ἀποδεικνὺς ἐπὶ μάλιστα, ἀκαλλεῖ {δὲ} τῇ λέξει χρώμενος καὶ μηδαμοῦ ἡδυνούσῃ τὸν ἀκροατήν, μᾶλλον μὲν οὖν συγκεχυμένα πως τιθεὶς τὰ νοήματα καὶ τῇ ἄκρᾳ δεινο- 20 λογίᾳ ἀσαφῶς ταῦτα φθεγγόμενος, ὡς ἐν πολλοῖς καταμαντεύεσθαι τῶν ἐννοιῶν τούτου τοὺς ἐξηγησαμένους. ὁ δὲ πολὺς καὶ μέγας ἐν πᾶσι Γρηγόριος φιλοσόφων καὶ σεμνῶν ἄγαν ἁπτόμενος ἐννοιῶν, ἐπειδήπερ ἀπρόσιτοι καθ' ἑαυτὰς αὗται τυγχάνουσι καὶ τοῖς πολλοῖς ἄβατοι, τῷ ῥητορικῷ κάλ- 25 λει καὶ ταῖς ἐκ τῆς τέχνης λειότησί τε καὶ ὁμαλότησιν ἀνευρύνει τὴν εἴσοδον καὶ τὰς τοῦ φιλοσόφου μεγέθους πύλας ἡμῖν ὑπανοίγνυσιν. ἐν πολλοῖς δὲ Γοργιάζων καὶ τρυφῶν τῷ

1–4 Greg. Naz. Or. 2,13 (Gallay)

6 L 121v–124r ‖ ined. ‖ **7** συνεστραμμένον scr. Wk. (cf. infra 28): συνεστεμμένον L ‖ **17** δὲ del. Wk. (nisi τε scribendum)

πλούτῳ καὶ τῷ κάλλει τῶν λέξεων, ἔν τισι καὶ συνέστραπται, οὐ 'ξὺν ἀφελείᾳ' κατὰ τὸν Δίωνα οὔτε μὴν κατὰ τὸν ἀμφίβολον τὸ γένος σοφιστήν, ἀλλ' ὑψηγορῶν καὶ ὑπεραττικίζων καὶ 30 πρὸς τὴν Θουκυδίδειον ἑαυτὸν παρελαύνων στρυφνότητα, ὡς ἀλλαχοῦ τέ μοι ὦπται κἀν τῷ προτεθέντι τὴν τήμερον προβλήματι παρ' ὑμῶν· 'πρῶτον μὲν γὰρ εὐλαβεῖσθαι ἄξιον, μὴ φαινοίμεθα τῆς θαυμασίας ἀρετῆς κακοὶ ζωγράφοι, μᾶλλον δὲ ζωγράφων οὐ φαύλων ἴσως, τῶν δὲ πολλῶν, φαῦλον ἀρχέ- 35 τυπον.'

Ἀλλ' ἐπειδὴ τεχνικῶς ἐνταῦθα φιλοσοφήσαντα τὸν μέγαν τοῦτον ὑμῖν ἐγνωρίσαμεν, χρὴ διελέσθαι, ὅπῃ μὲν σοφιστής ἐστι καὶ ὅπῃ φιλόσοφος, ἰδίᾳ τε ἐξετάσαι ἐν ἑκατέρῳ ἤθει τὸν θεολόγον. καὶ πρῶτόν γε ἐπιδήλως ἐνταῦθα φιλοσοφή- 40 σαντα καταμάθωμεν, τοσοῦτον δὴ προειπόντες, ὅτι περὶ ἀρχιερέως ὁ λόγος ἐνταῦθα προβέβληται τῷ πατρί, ὃς δὴ μέσον θεοῦ καὶ ἀνθρώπων ἱστάμενος εἰκών τέ ἐστι καὶ παράδειγμα· ὁμοιοῦται μὲν γὰρ τῷ κρείττονι, ἀρχέτυπος δὲ τοῖς ἥττοσι κεῖται σανίς, ὥστε ζωγράφος τέ ἐστιν ὁ αὐτὸς καὶ ζω- 45 γράφων ἑτέρων παράδειγμα. τὴν γοῦν ἀρχιερωσύνην ὥσπερ κεφάλαιον ἀρετῶν ἀνυμνῶν 'θαυμασίαν' θαυμασίως ὠνόμακεν, ὅτι θεὸν ὑποκρίνεται, καὶ ὅπερ ἐκείνῃ τὸ κρεῖττον, τοῦτο αὕτη τοῖς ἄλλοις γίνεται. λεληθότως δὲ καὶ τῶν φιλοσόφων ἐκείνων καθάπτεται, ὅσοι μὴ ἀσκητὸν τὴν ἀρετὴν ἀλλὰ φυσι- 50 κὸν ἀπεφήναντο, μηδὲ μετὰ τῆς ἀσκήσεως καὶ δῶρον θεοῦ, ἀλλὰ τῇ φύσει τὸ πᾶν ἀπένειμαν· ὧν δὴ καὶ Πλωτῖνος καὶ ὁ μετὰ τοῦτον Πορφύριος ἐν τοῖς οἰκείοις λόγοις κατεμαρτύρησαν. καὶ Πλάτων δὲ ὁ μέγας φιλόσοφος τὸν θεόν φησιν ἑαυτὸν στῆσαι ἐν μέσῳ τῷ κόσμῳ, τοῖς ἄλλοις δὲ παράδειγμα· 55

29 Philostr. Vit. soph. I 7,1, p. 7,3–4 ‖ **29–30** ibid. 8,1, p. 8,26–31 ‖ **32** ἀλλαχοῦ] cf. Boissonade *De oper. daem.*, 127,7–11 ‖ **52** cf. Plot. I,4, 8, 18–22 ‖ **54** cf. Plat. Crit. 121 c 2–4

32 κἂν L: corr. Wk. ‖ **33** ἡμῶν L: corr. Wk. ‖ **45** ζωγράφος Wk.: -οι L

καὶ ὑμᾶς δὲ Πλουτάρχου λέγοντος οἶμαι τοῦτο ἀκηκοέναι, οὐ γὰρ δήπου προσωμιλήκατε Πλάτωνι.

Χρὴ γοῦν τὸν ὡς ἄριστα βουλόμενον ἑαυτῷ ὑποζωγραφῆσαι τὴν ἀρετὴν πρὸς τὸν θεὸν βλέπειν ὡς πρὸς παράδειγμα
60 καὶ τὴν ἰδέαν τοῦ νοητοῦ κάλλους εἰς τὴν οἰκείαν μεταφέρειν ψυχὴν διὰ τῆς ὡς ἐφικτὸν μιμήσεως· καὶ μᾶλλόν γε τὸν ἀρχιερέα, ἐπειδή γε καὶ ὁ καθ' ἡμᾶς λόγος αἰώνιος ἱερεὺς τῷ ἀποστόλῳ σοφῶς προσηγόρευται, οὐ κατὰ τάξιν Ἀαρών, ἀλλὰ κατὰ τὴν τάξιν Μελχισεδὲκ τὴν μίτραν ἀναδησάμενος
65 καὶ τὸν ποδήρη περιβαλόμενος. ἔστι δέ τις, ὦ βέλτιστοι, καὶ νοητὴ μίτρα παρὰ τῷ κρείττονι καὶ χιτὼν ἀρχιερατικὸς ἄχρι ποδῶν καθειμένος, νοερὸς ἀλλ' οὐκ αἰσθητός. οὐ γὰρ ἅπασα ἐπωμίς, οὐδὲ οἱ προσηρτημένοι ῥοΐσκοι καὶ κώδωνες, οὐδὲ τὸ ἐπὶ τοῦ στήθους ἐφούδ, οὐδὲ ἡ περὶ τὴν στολὴν δήλωσις τὸν
70 ἱερέα ποιεῖ· ἀλλ' ἐκεῖνος ἐμοὶ θύτης τοῦ μεγάλου πέφυκε θύματος, ὅστις δὴ τῇ μὲν τῶν ἀρετῶν πλοκῇ οἵᾳ τινὶ μίτρᾳ τὸν ὑπερανέχοντα κατακοσμεῖ νοῦν, τῇ δὲ τῆς ἀπαθείας λευκότητι τὸ ὅλον καθαγιάζει σῶμα, κώδωσι δὲ καὶ ῥοΐσκοις, ταῖς πρακτικαῖς ἀρεταῖς, τὸ μὲν στυφούσαις τῷ τῆς φύσεως τρα-
75 χεῖ τὸν μετιόντα, τὸ δὲ οἷον ἠχούσαις καὶ δεικνυούσαις τὸν ταύτης ἐραστήν, λαμπρῶς ἄγαν κεκόσμηται. τὸ γὰρ ἐπὶ τοῦ στήθους ἐφοὺδ ὡς ποικίλην ἔχον τὴν θεωρίαν εἰς ἕτερον καιρὸν ἀναβάλλομαι. χρόαι γὰρ ἐν τούτῳ λίθων διάφοροι καὶ ποικίλη κατασκευὴ καὶ μεταβολαὶ τῶν χρωμάτων διάφοροι,
80 καὶ δεῖ τὸν εἰς λεπτὸν κατιόντα τοῖς θεωρήμασι μακρὸν ἀνελίξαι λόγον τὸ περιεπτυγμένον τοῦ νοῦ ἀναπλοῦντα καὶ ἀναπτύσσοντα.

Εἰ μὲν οὖν πρὸς τὸν μέγαν ἀρχιερέα τις ἀποβλέπων ἑαυτὸν ἀποζωγραφοίη, οὗτός ἐστιν ὁ παρὰ τῷ μεγάλῳ τούτῳ
85 πατρὶ τῆς θαυμασίας ἀρετῆς ζωγράφος ἠκριβωμένος· ὁ δὲ

62–64 cf. Hebr. 5,10; 6,20 || **65–69** cf. Exod. 28,1–37

56 ὑμεῖς L: corr. Wk. || **65** περιβαλόμενος Wk.: -λλ- L || **71** οἵά L || **76** ταύταις L: corr. Wk. (nisi τούτων scribendum)

μὴ ‘μετὰ λόγου καὶ θεωρίας’, κατ’ αὐτὸν αὖθις φάναι, ἱερατικῶς μορφαζόμενος, ἀλλὰ τοῖς ἐπιτυχοῦσι χρώμασιν εἰς τὴν ἱερατικὴν εἰκόνα συγχρώμενος, ὁ κακὸς ζωγράφος οὗτός ἐστι, τὴν μὲν ταινίαν περὶ τοὺς πόδας διατιθέμενος καὶ τὴν ὑπὲρ ταύτην κίδαριν κατὰ νώτου ποιούμενος, τὴν δὲ ῥόαν ἐπὶ τῆς 90 ᾤας ἀπαιωρῶν τοῦ ἐνδύματος καὶ τὸν κώδωνα κατὰ τοῦ μετώπου προσαρτῶν· οὐ γὰρ οὕτω ταῦτα παρὰ τῷ κρείττονι. οὗτος οὐ μόνον τῆς θαυμασίας ἀρετῆς οὕτω ζωγραφῶν ἑαυτὸν καταψεύδεται, ἀλλὰ καὶ τοῖς ἄλλοις ζωγράφοις φαῦλον παράδειγμα γίνεται. ὥσπερ γὰρ ἐκεῖνος εἰκὼν τοῦ θείου πέ- 95 φυκε παραδείγματος, οὕτω δὴ καὶ οἱ μετ’ ἐκεῖνον ἱστάμενοι ὁμοιώματα τῆς ἐκείνου καθεστήκασιν ἀρετῆς. εἰ μὲν οὖν ἐκεῖνος ἄριστα μορφωθείη ταῖς ἀρεταῖς, καὶ οἱ μετὰ τοῦτον ζωγράφοι τὴν ἐκείνου ἰδέαν ταῖς ἑαυτῶν ψυχαῖς ἀναμαξάμενοι πρὸς τὸ πρωτότυπον ἄγαλμα ἑαυτοὺς ἀπεικάζουσι· τού- 100 του δὲ φαύλως ἑαυτὸν ζωγραφήσαντος καὶ οἱ πρὸς αὐτὸν ἀποβλέποντες γραφεῖς ἀτέχνως ἄγαν τὴν ἀρετὴν ἐν ταῖς ἰδίαις ἀποζωγραφοῦσι ψυχαῖς. ἐπεὶ δὲ οἱ μὴ φαῦλοι ‘γεγυμνασμένοι’ κατὰ τὸν ἀπόστολον ‘τὰ’ τῆς ψυχῆς ‘αἰσθητήρια διάκρισιν ἔχουσι χείρονος καὶ βελτίονος’, {καὶ} οὐ δίκην 105 θρεμμάτων τῆς ῥινὸς ἕλκονται, ἵνα τὴν ἐν τῷ ἀρχιερεῖ ἀρχέτυπον δοκοῦσαν ἀρετὴν πρὸς ἑαυτοὺς μετενέγκωσιν, ἀλλ’ εἰ μὲν ἴδωσιν εὖ ξυντεθειμένα τὰ χρώματα καὶ ἀμεμφῆ τὴν ἰδέαν καὶ τεχνικήν, ἀναμάττονται τὴν ὁμοίωσιν, εἰ δὲ συγκεχυμένα καὶ ἀθρόα πάντα, κατὰ δὲ τὴν τάξιν οὐδέν, ἑαυτοῖς 110 χρῶνται καὶ τῷ τῆς ψυχῆς ἐμφύτῳ λόγῳ πρὸς τὴν οἰκείαν ἀρετὴν παραδείγματι. τοῦτο γοῦν αὐτό {φησιν} ὁ μέγας ὑπαινιττόμενος, ‘μὴ γενώμεθα’ φησὶ ‘τῆς θαυμασίας ἀρετῆς κακοὶ ζωγράφοι, μᾶλλον δὲ ζωγράφων ἑτέρων ἀρχέτυπον’. εἶτα

86 cf. Greg. Naz. Or. 32,33 (Moreschini) || **103–105** Hebr. 5,14 || **106** Luc. Hermot. 68; 73

103 μὴ φαῦλοι scr. Wk. (cf. 116–118): πολλοὶ L (sed vide 118–121) || **105** καὶ[2] del. Wk. || **112** φησιν del. Wk.

115 ὑποδιαιρούμενος τίνων μέν, τίνων δ' οὔ, 'οὐ φαύλων ἴσως' προστέθεικεν, 'ἀλλὰ τῶν πολλῶν'. οἱ μὲν γὰρ μὴ φαῦλοι οὐκ ἀπατηθήσονται τῷ μιμήματι, διάκρισιν ἔχοντες, ὡς εἰρήκαμεν, χείρονος καὶ βελτίονος, οἱ δὲ πολλοί, οἵτινές εἰσιν οἱ νηπιώδεις ἢ κτηνώδεις, ἀλόγως ὅπῃ τύχῃ πράττοντες καὶ ταῖς
120 ἑτέρων ἀρεταῖς ἀνεπιστημόνως κανονιζόμενοι, ἐκεῖνοι καὶ μιμήσονται καὶ διαφθαρήσονται.

Τὸ δὲ 'ἴσως' κἀπὶ τῶν οὐ φαύλων ζωγράφων τέθεικεν οὐ παρέργως, εἰδὼς ὅτι καὶ τῶν κρειττόνων οἱ πλείους ἐξαπατηθήσονται τοῖς συμμίκτοις τῶν ἀρχιερέων χρώμασι. τοῦτο δὲ
125 τοιοῦτόν ἐστιν· οὐ γυμνὴ πρόκειται ἡ κακία τῷ βίῳ, ἀλλά τινι καλοῦ φαντασίᾳ προσκεχρω⟨σ⟩μένη, ἐπεὶ οὐκ ἂν ηὐτομόλησε πρὸς αὐτὴν τὸ ἀνθρώπινον. διὰ τοῦτο καὶ ὁ τὴν ἀρχιερατικὴν μορφὴν ἑαυτῷ διαζωγραφῶν ἀσαφῆ μὲν τίθησι καὶ συγκεχυμένα τὰ χρώματα, ἔστι δ' ὅπῃ καὶ κατὰ τὸ ἰνίον
130 τὸ πρόσωπον περιτίθησι, κατ' εὐθυωρίαν τοῦ βρέγματος τὴν τῶν σπονδύλων συνθήκην διατιθέμενος· χρώματα δ' ὅμως ἀρετῶν εἰσι τὰ φαινόμενα, συνθήκην καὶ ἁρμονίαν ἔχοντα, εἰ καὶ μὴ σπουδαίαν. ὅθεν καὶ ὁ μὴ 'γεγυμνασμένος τὰ αἰσθητήρια' μὴ γυμνὴν ὁρῶν τὴν κακίαν, ἀλλὰ καλοῦ φαντασίᾳ
135 προσκεχρω⟨σ⟩μένην, κατὰ λόγον τε ἔχειν τὴν γραφὴν οἰήσεται καὶ τάχα που καὶ περιτραπήσεται, εἰ μή που θείας τύχῃ ῥοπῆς ἀπαγούσης μὲν αὐτὸν τοῦ φαινομένου καλοῦ, πρὸς δὲ τὸ ἄυλον εἶδος ἐπαναγούσης.

Τοιοῦτος μὲν φιλόσοφος ὁ μέγας οὗτος ἀνήρ, ῥήτωρ δὲ
140 οὐχ ἧττον, εἰ μὴ καὶ μᾶλλον, πῇ μὲν βραχεῖαν ἔννοιαν λέξεσιν ἀμυθήτοις διεξοδεύων, πῇ δὲ νοημάτων πλῆθος ἐν μικροῖς ἀποδεσμῶν ῥήμασι, καὶ δύο τούτοις ὀργάνοις πρὸς ταῦτα χρώμενος, περιόδῳ καὶ πνεύματι. τὸ γὰρ χωρίον τουτὶ καὶ

125–127 Greg. Nyss. Or. de beat. PG 44,1249C; cf. infra 9,22–23 || **133–134** Hebr. 5,14

116 προστέθεικεν Wk.: προὐτέθεικεν L || **126** et **135** sec. Greg. Nyss. correximus (cf. infra 9,23) || **128** ἑαυτ(῀) L (cf. supra 58)

περιοδικὸν πέφυκεν, οὐ τῇ συστροφῇ μόνον τῆς φράσεως ἀποστενούμενον, ἀλλὰ καὶ τῷ ἐλλιπεῖ τῶν ῥημάτων καὶ τῷ 145 κατὰ κοινότητος τὰς προτεθειμένας λέξεις λαμβάνεσθαι. τὸ γὰρ ʻεὐλαβητέονʼ καὶ τὸ ʻμὴ φαινοίμεθαʼ ἐπ' αὐτοῦ τοῦ ἀρχιερέως ζωγραφοῦντος προτέθειται καὶ ἐπὶ τῶν ἑτέρων ζωγράφων βιάζονται· τῷ δ' ʻοὐ φαύλων ἴσωςʼ λείπει τὸ ʻἀρχέτυπον γενήσεσθαιʼ, ὅπερ δὴ ἐλλιπὲς ὥσπερ εἰρημένον εἴληπ- 150 ται καὶ εἰς τὸ ʻτῶν δὲ πολλῶν φαῦλον ἀρχέτυπονʼ. ἔστι δὲ περιβεβλημένον μὲν τὸ χωρίον καὶ διὰ τοῦτο ἀσαφὲς καὶ οἷον ὑποσυγκεχυμένον· γοργότησι δὲ καταδεῖται καὶ ταχείαις στροφαῖς τε καὶ ἀποδόσεσι, σφοδρὸν δὲ οὐχ ἧττόν ἐστιν, ἐπιτιμητικῶς εἰσηγμένον ὡς ἀπὸ κρείττονος. ἔστι δὲ καὶ σεμνόν, 155 τῆς τρίτης τάξεως τῶν ἐκείνης ἐχόμενον ἐννοιῶν· κεκόσμηται δὲ καὶ τῷ ἤθει τῷ τοῦ ἐνδοιασμοῦ προσρήματι καὶ ἠναντίωται πρὸς τὴν σεμνότητα, ἀποφαντικὴ γὰρ ἐκείνη κατὰ τὴν μέθοδον. μετέχει δὲ καὶ λαμπρότητος, οὐκ ἀκρατῶς οὐδ' ἐμφατικῶς, ἐπεὶ μηδὲ καιρὸς τῷ μεγάλῳ ταῖς ἐννοίαις ἐνταῦθα 160 ἐλλάμπεσθαι. τῆς δὲ ἀκμῆς καὶ μᾶλλον ἔχεται, ἐπεὶ καὶ ἀποτέλεσμα αὕτη λαμπρότητος καὶ σφοδρότητος καὶ τῆς ἑτέρας ἰδέας.

Ἀλλὰ τούτων μὲν ἂν ἴσως καὶ παρ' ἑτέρων ῥητόρων ἀκούσεσθε, οἳ δὴ ὡς ἐπὶ μεγάλοις τούτοις βρενθύονται· ὧν ἐμοὶ 165 ⟨οὐ⟩ μᾶλλον μέλει ἢ τῶν ἐν Θούλῃ, καὶ οὐδὲν νῦν πρὸς τούτους τοὺς λόγους ἀπηρυθρίακα, φιλόσοφος ὤν, εὖ ἴστε, εἰ μὴ τὴν τῶν πολλῶν γλῶτταν πρὸς τὰς τοιαύτας τεχνολογίας ἑώρων πρόχειρον. δεῖ γὰρ τὸν παλαιστὴν καὶ τὰ τῶν ἧττον παλαιόντων μιμεῖσθαι σχήματα, ἵνα μηδὲ κἀν τούτοις ἐλάττων 170 δόξειε. τὸ δ' ὅπως ὁ μέγας ἐνταῦθα συνέσφιγξε τὴν περὶ τοῦ ἀρχιερέως διάνοιαν καὶ δέον ἁπλῶς εἰπεῖν συνέστρεψεν, οἷ-

155–159 Hermog. De id. I 6, pp. 245,3–246,11 Rabe || **159** λαμπρότητος] ibid. I 9 || **161** ἀκμῆς] ibid. I 10

149 τῷ Wk.: τὸ **L** || **156** τρίτης] γ' **L** || **159** ἐμφατικῶς coni. Wk.: ἐμφαύλως **L** || **166** οὐ add. Wk. | οὐδὲν] an οὐδὲ scr.?

μαι μηδένα ἄλλον ἐρεῖν πρὸς ὑμᾶς· ἐμοὶ δὲ αἱ τῶν λόγων αἰτίαι μᾶλλον τῶν ἄλλων σπουδάζονται. τῆς δὲ συστροφῆς ὁ
175 λόγος οὗτός ἐστιν. οὐκ ἐδόκει τῷ μεγάλῳ τούτῳ πατρὶ ἄρτι τῆς ἱερατείας ἡμμένῳ πρὸς τοὺς χρόνῳ προήκοντας ἀπαυθαδιάζεσθαι μηδὲ πρὶν ἢ εἰς τὸ ἅγιον εἰσιέναι κοσμικὸν τοῖς ἐν τῷ ἀδύτῳ ἐπιτιμᾶν καὶ περὶ ἱερωσύνης λόγον συντιθέναι τὸν μήπω ταύτης ἁψάμενον. διὰ τοῦτο καὶ Ἀπολογητικὸς αὐτῷ ὁ
180 λόγος οὗτος ὠνόμασται, ἵν' ὡς ἑτέρου γραφομένου τοῦτον ἀπονοίας ἢ ὑπεροψίας ἀπολογήσηται. ὅθεν ἐν οἷς μὲν ἀπολογεῖσθαι δοκεῖ, σαφής ἐστι καὶ καθαρὸς καὶ τὴν ἁρμονίαν διαλελυμένος, ἐν οἷς δὲ ἐπιτιμᾶν χρή, οὔτε πικρὸς ἄγαν οὔτε τραχύς, ἀλλ' εὐλαβεῖται μὲν καὶ τὴν εἰσαγωγὴν τοῦ ἐπιτιμη-
185 τικοῦ λόγου καὶ τὰ πολλὰ ἑαυτοῦ ἔχεται καὶ τοῦ μὲν κέντρου ἧττόν ἐστι, τοῦ δὲ χαλινοῦ μᾶλλον. ὅπῃ δέ που ὁ λόγος αὐτῷ προπηδήσει, τῇ τοῦ λόγου καταρτύεται μάστιγι καὶ οἷον ἀναχαιτίζεται, τεχνικήν τε τὴν τῆς ἐπιτιμήσεως ποιούμενος ἔφοδον ἐλλιπῆ ταύτην καὶ σύντομον ἀπεργάζεται, ἵν' ὁμοῦ τε
190 πλήξῃ καθάπερ μέλιττα καὶ τὸ κέντρον ἀφεὶς λάθῃ τὸν πληγέντα, τοῖς τοῦ λόγου πτεροῖς κουφισθείς.

Ἀρκεῖ ταῦτα πρὸς φιλοσόφους ἀκροατάς, οἷς τὸ μὲν κεχυμένον τοῦ λόγου καὶ πλούσιον φορτικόν πως διὰ τὴν νοερὰν τῶν νοημάτων σύμπτυξιν, τὸ δὲ καὶ ταῖς ἐννοίαις μετρούμε-
195 νον καὶ ταῖς λέξεσιν εὔκαιρον ὁμοῦ καὶ φιλόσοφον.

186–189 cf. Philostr. Vit. soph. I 8, p. 7,7–8

176 ἀπαυθαδειάζεσθαι **L** (post corr.)

7

Τοῦ αὐτοῦ εἰς τὸ ἀποστολικὸν ῥητὸν τὸ φάσκον, 'ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει'

'Ἑκάστου τὸ ἔργον', φησὶν ὁ ἀπόστολος, 'ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει· ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· καὶ εἴ τινος μὲν τὸ ἔργον μείνῃ, ὃ ἐπῳκοδόμησε, μισθὸν λή- 5 ψεται, εἴ τινος δὲ τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός.'

Ταῦτα μὲν τὰ τοῦ ἀποστόλου ῥητά, ἐξ ἐπιτυχουσῶν μὲν συγκείμενα λέξεων, ὥσπερ δέ τισιν εὐτελέσι παραπετάσμασι θεῖον κατακαλύπτοντα νοῦν. 'ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι, 10 τὸ πῦρ δοκιμάσει.' ποῖον πῦρ, ὦ θειότατε ἀπόστολε; καὶ πῶς δοκιμάζον; τίς δὲ καὶ ἡ δοκιμασία ἡμῶν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως; ἆρα γὰρ δίδως τινὰ μὲν τῶν σωμάτων μετὰ τῶν ἐμφύτων ἀνίστασθαι πονηριῶν, τινὰ δὲ ἀμιγῆ κακίας καὶ πάντῃ καθαρά, ἵνα ταῦτα μὲν τὰ σώματα λαμπρότερα δείξῃ τὸ πῦρ 15 ἅτε χρυσοειδῆ τυγχάνοντα καὶ μὴ κεκοινωνηκότα τῆς χείρονος ὕλης, τῶν δὲ τὴν ἐγκεχυμένην ἀνέλῃ κακίαν καὶ τοῦ ποσοῦ μὲν ἐλαττώσῃ ὑφελόν τι τοῦ μεμιγμένου, προσθήσει δὲ τῇ ποιότητι; ἢ ταῦτα μὲν οὐχί, ὡς πολλάκις ἐληλεγμένα, ἑτέραν δὲ διάνοιαν δηλοῖ τὰ ῥητά; καὶ τίς αὕτη; σὺ γὰρ ἂν μό- 20 νος αὐτὴν ἐξηγήσαιο· μία γάρ τις, οἶμαι, καὶ αὕτη ὧν ἀπὸ τοῦ τρίτου προσείληφας οὐρανοῦ, διὰ ταῦτα γὰρ καὶ ῥηθεῖσα πέφυκεν ἄρρητος.

Σὺ μὲν οὖν οἶδ' ὅτι καὶ πάλιν σιγήσεις καὶ οὐδενὸς ἡμῖν μεταδοίης τῶν ἀπορρήτων, ἡμῖν δὲ ὅσον ἐφικτὸν παρακινδυ- 25

1–2 1 Cor. 3,13 ‖ **3–7** ibid. 3,13–15 ‖ **21–23** 2 Cor. 12,2–4

7 L 160r–162v s 253r–255r ‖ ined. ‖ **1–2** s: om. L ‖ **5** μείνει s ‖ **6** καήσεται s ‖ **9** ὡσπερεί τισι δὲ s | ἀτελεστέροις s ‖ **10** καταλάμποντα s ‖ **12** καὶ s: om. L ‖ **16** χρυσοειδῆ L (cf. 106): πυρσοειδῆ s ‖ **18** ὑφελών codd. ‖ **21** αὐτὴν] -ῶν s | καὶ om. s ‖ **22** γὰρ om. s

νευτέον, ἵν' οὕτως εἴπω, ἐπὶ τοῖς σοῖς ἀρρήτοις συμβόλοις, ἵνα μὴ μάτην σοι γεγραμμένα ταῦτα τυγχάνῃ. 'ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει· ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται.' τοῦτο δὲ τὸ πῦρ ἐστιν οὔθ' ὅ φησιν ὁ
30 Ἡράκλειτος οὔτ' εἴ τις ἄλλος τῶν φιλοσόφων εἰκαστικῶς ἐξεφώνησεν· ὁ γὰρ Ἡράκλειτος οὗτος πρῶτον στοιχεῖον τὸ πῦρ ὑποθέμενος σῴζεσθαι νῦν ἔφη καὶ σῴζειν τἄλλα, ὅτι κέκραται ταῖς ἀντικειμέναις ποιότησι, κατακρατήσειν δέ ποτε τῶν ἄλλων, ἐπειδὰν ὑπερβλύσῃ καὶ τῶν ὅρων οἱονεὶ κρατήρων
35 ἔξω γενόμενον πᾶσαν ἐπινεμηθῇ φύσιν καὶ πάντα καταναλώσῃ τῷ μεγέθει τοῦ ὄγκου καὶ τῇ δραστικῇ ποιότητι. οὐ τοῦτό φησι τὸ πῦρ ὁ ἀπόστολος, μέρος γὰρ καὶ αὐτὸ τοῦ κόσμου καὶ τῇ φθορᾷ τοῦ παντὸς ὑποκείμενον.

Ἀλλ' ἆρα τῆς λεγομένης γεέννης ἀπόσπασμα τοῦτο καὶ
40 οἷον ἀποχέτευμα πέφυκε, καὶ δεῖ τούτῳ ἡμᾶς τηνικαῦτα προσάγεσθαι, ἵνα παρὰ τούτῳ δοκιμαζόμενοι τῆς δεξιᾶς ἢ τῆς ἀριστερᾶς μερίδος γινώμεθα; ἀλλ' οἶμαι, ὡς εἴ τι καὶ λέγεται πῦρ εἶναι ἢ πυρὸς γέεννα, ἀληθῶς μὲν λέγεται, καὶ δεῖ ταῖς θείαις γραφαῖς ἕπεσθαι, σύμβολον δὲ ἡγεῖσθαι τιμωρίας ἀρ-
45 ρήτου καὶ ἣν οὐκ ἄν τις ὑποσταίη διὰ τὸ μέγεθος.

Τί γοῦν τὸ ἐνταῦθα πῦρ; ἔγωγ' οὖν φημι (καί μοι συγγινωσκέτω πᾶς, οὐ γὰρ ἀποφαινόμενος λέγω, ἀλλ' εἰκάζων καὶ τῆς ἀποστολικῆς διανοίας καταμαντευόμενος), φημὶ γοῦν ὅτι

31–36 fontem non invenimus ‖ **43** e.g. Matth. 5,22; 18,9; Marc. 9,47–48

27 ταῦτα om. s | τυγχάν( ) L: -ει s ‖ **29** ὁ om. s ‖ **31** ante γὰρ add. μὲν s ‖ **32** μὲν νῦν s | ἔφησε s | κεκράτηται s ‖ **33** δέ] δεῖ s ‖ **34** ὑπερβλύσῃ, η ex corr., L ‖ **36** τῷ τε s | τῇ s.v. ins. L | ποιότητι, α supra -ι, L ‖ **39** ἄρα L | τὸ τῆς s ‖ **41** δόξης s ‖ **43** ἢ L: καὶ s ‖ **46** ἐνταῦθα τὸ trsp. s ‖ **47** πᾶς] scr. Παῦλος? ‖ **48** mg. s: ταύτην εἴληφε τὴν ἔννοιαν ὁ σοφὸς οὗτος ἐκ τοῦ μεγάλου Βασιλείου. φησὶ γὰρ ἐκεῖνος ἐν τοῖς κατὰ Πελαγίου ἀποκριτικοῖς καὶ ἐν λόγῳ α' οὕτως· 'βλέπε· οὐ μόνον γὰρ φῶς ἐστιν ὁ θεός, ἀλλὰ καὶ πῦρ τοὺς ἁμαρτωλοὺς κατακαίων. καὶ μακάριος μὲν ὁ τὸ φῶς δεχόμενος, τρισάθλιος δὲ ὁ τὸ

τὸ ἐνταῦθα πῦρ αὐτός ἐστιν ὁ θεός, ὃς δὴ καὶ φῶς ὀνομάζεται καὶ τὴν τοῦ πυρὸς προσηγορίαν οὐκ ἀπαξιοῖ. οὗτος γὰρ 50 ἀνώνυμός ἐστι καὶ πολυώνυμος γίνεται πρὸς τὰς ἡμετέρας ἕξεις τὰς ὀνομασίας μεταλλαττόμενος. οὗτος δὴ καθαίρων μὲν καὶ λευκαίνων ψυχὴν καὶ τῶν ἐγκειμένων ἀποπλύνων κηλίδων, ὧν ἡ κακία αὐτῇ προσεμάξατο, φῶς ἔστι τε καὶ λέγεται, καὶ οὐδὲν ἂν τούτου τοῦ φωτὸς φανείη διαφεγγέστερον· 55 τὴν δὲ ὕλην καταναλίσκων πῦρ ὀνομάζεται, ὥσπερ ἀλλαχοῦ τέμνων καὶ διαιρῶν καὶ μυελῶν ψυχῆς ἐφικνούμενος μάχαιρά τε καὶ τμητικὸς λόγος προσαγορεύεται.

'Ἑκάστου' οὖν 'τὸ ἔργον, ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει.' ἐνταῦθα μὲν γὰρ ἑτέρους ἔχομεν τοὺς δοκιμάζοντας, καὶ διῄ- 60 ρηνται οὗτοι τοῖς ἔθνεσι· παρὰ μὲν γὰρ Ἀθηναίοις οἱ ἔφοροι, παρὰ δὲ Λακεδαιμονίοις τὰ τέλη, καὶ παρὰ Σπαρτιάταις οἱ Ἑλλανοδίκαι, καὶ παρ' Αἰγυπτίοις οἱ φιλοβασιλεῖς, καὶ παρ' ἄλλοις ἔθνεσιν αἱ κανηφόροι ἢ αἱ ἱέρειαι, καὶ παρὰ τοῖς Ἑβραίοις οἱ καλούμενοι κριταί, εἶθ' ὕστερον βασιλεῖς, ὧν 65

56–58 Hebr. 4,12

πῦρ ἐκδεχόμενος. ἑκάστου γὰρ τὸ ἔργον, ὁποῖόν ἐστι, τὸ πῦρ αὐτὸ δοκιμάσει· οὐ χρεία ξύλων ἐκεῖ. βλέπε μὴ τὰ ἔργα σου ξύλα σοι γένηται. ἐρεύνα τὰς γραφὰς καὶ βλέπε τοὺς δικαιωθέντας, κατανόει δὲ τοὺς καταδικασθέντας, καὶ φυλάττου καὶ μὴ(?) περιπεσεῖν οἷς ἐκεῖνοι περιπεπτώκασιν,' καὶ μετ' ὀλίγα· 'βλέπε μὴ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἀπέλθῃς βαστάζων ξύλα, χόρτον, καλάμην, γινώσκων ὅτι ὁ θεὸς πῦρ καταναλίσκων ἐστί, καὶ λέγων ἑτέρωθι· καὶ ἀνταποδώσω διπλᾶς τὰς ἀδικίας αὐτῶν.' καὶ μετ' οὐ πολύ· 'μᾶλλον ἀπωθοῦ τοῦ πυρὸς τοῦ προσδοκωμένου τὴν ὕλην, εἰ δοκεῖς δοῦλος [εἶναι] θεοῦ· δοῦλος γὰρ ὁ γνοὺς τὸ θέλημα τοῦ δεσπότου καὶ μὴ ποιήσας δαρήσεται πολλ[άς]. φοβοῦ, ταλαίπωρε, τὰς πληγάς, οὐ γὰρ ἔτι ὑπολείπεταί σοι [σου s] θυσία, ὡς λέγει ὁ ἀπόστολος, ἀλλὰ φοβερά τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς(?) ζῆλος ἐσθίειν μέλλων τοὺς ὑπεναντίους.' || **49** ἐνταῦθα πῦρ ὅτι (om. τὸ) s || **50** γὰρ καὶ s || **52** δὴ L: δὲ s || **54** αὐτὴ L || **55** ἂν L: νῦν s | διαφανέστερον s || **57** μελῶν L || **59** γοῦν s || **62** σπαρτιώταις s: σπαρτιαίοις L: corr. Wk. || **64** αἱ[1] L: οἱ s

ἀρχὴ μὲν ὁ Σαούλ, τελευτὴ δὲ ὁ Σεδεκίας. τούτων γὰρ ἕκαστοι τὰ καθ' ἕκαστα τῶν πραττομένων ἀνακρίνοντες καὶ δοκιμάζοντες τὰς ψήφους ἐπῆγον, καὶ οἱ μὲν ἐστεφανηφόρουν, οἱ δὲ τὰ δεινότατα ἔπασχον. ἐνταῦθα μὲν οὖν οὕτως, ἔνθα 70 καὶ ἡ πλάνη πολλὴ καὶ ἡ τῶν πεπραγμένων διημαρτημένη ἀντέκτισις, καὶ τὸ μὲν πεπραγμένον πολλάκις στεφάνων ἢ κολάσεων ἄξιον, αἱ δὲ τῶν ἀντιλαμβανομένων συνηγορίαι καὶ ἡ τὴν τέχνην τοῦ λέγειν περιβεβλημένη γλῶττα παράγει τὸν δικαστὴν καὶ μεταλλάττει τὴν ψῆφον. ἐκεῖ δὲ 'ὁποῖον ἑκά- 75 στου τὸ ἔργον, τὸ πῦρ δοκιμάσει'· ἀπαραλόγιστος γὰρ ὁ κριτὴς καὶ τὸ βῆμα ἀδέκαστον, καὶ ὁμοῦ τέ τις πεπλησίακε τῷ δικαστῇ καὶ δεδοκίμασται τῷ πυρί, βάσανος γὰρ ἀκριβεστάτη τῶν πράξεων ἡ τοῦ δικαστοῦ φύσις.

'Ἡ γὰρ ἡμέρα' φησὶ 'δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται.' 80 τοῦτο κατασκευὴ τοῦ προτέρου πέφυκεν. ἐπειδὴ γὰρ εἶπεν, ὅτι τῷ πυρὶ σύμπαντες κριθησόμεθα, πῦρ δὲ καταναλίσκον καὶ ἀποτεφροῦν τὴν κακίαν ὁ θεός, ἐπήγαγεν, 'ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται'. ἡμέραν ἐνταῦθα πάντως τὸν μέλλοντα αἰῶνα κατωνόμασεν ὁ ἀπόστολος, ἢ ὅτι μὴ 85 πέφυκεν ἡλίῳ διοικούμενος, ἵν' ἡμέρα τε γένοιτο καὶ νὺξ ἀντεπέλθοι, ἢ ὅτι πρὸς τὴν παροῦσαν ζωὴν συγκρινόμενος ἡμέρᾳ πρὸς νύκτα ἀναλογεῖ. ἡ οὖν ἡμέρα, φησίν, αὕτη 'δηλώσει, ὅτι ἐν πυρὶ πάντα ἀποκαλύπτεται'· πάσης γὰρ λοιπὸν ἀφανισθείσης κρίσεως καὶ πάσης βασάνου καὶ δοκιμασίας 90 ἐκποδὼν γεγενημένης οὐκ εὔδηλον, ὡς παρὰ μόνῳ τῷ θεῷ ἡ τῶν πεπραγμένων ἡμῖν κρίσις γενήσεται; οὐ γάρ τις ἐκεῖ ὁ παραδιοικῶν ἢ τὰς κρίσεις ὑποποιούμενος ἢ τὸ τοῦ δικαστοῦ μετατρέπων βούλημα ἢ τὸν θεῖον καὶ ἄλυτον νόμον μεταλλαττόμενος.

66 ἄρχεται s | τελευτᾶ s | ἕκαστος s || **68** τε καὶ s || **69** οὖν om. L || **70** πραγμάτων s || **72** κολάσεως s || **74** ἐκεῖ s: ἐκεῖνο L || **78** κρίσ(ις) s || **82** ἡμέρα] φησὶ add. s || **83** πυρὶ] πάντ(α) add. s (cf. 88) | πάντ( ) L || **85** γένοιτο s: γίν- L || **87** οὖν L: γὰρ s | αὕτη φησὶ trp. s || **88** λοιπ(῀) L: λοιπῆς s: corr. Wk. || **90** γενομένης s || **91** πραγμάτων s | ὁ om. s

'Εἴ τινος' οὖν 'τὸ ἔργον μείνῃ, ὃ ἐπῳκοδόμησε, μισθὸν λή- 95
ψεται· εἴ τινος δὲ τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται.'
ὥσπερ γὰρ ἐπὶ τοῦ αἰσθητοῦ τούτου πυρός, εἰ μέν τις ὕλη
προσενεχθείη καθαρὰ καὶ τῷ ὄντι χρυσῆ, ἐπὶ μᾶλλον τῇ χω-
νείᾳ λαμπρύνεται, καὶ ὅσῳ τὸ πῦρ πέφυκε δραστικώτερον,
τοσούτῳ τὸ προσαχθὲν γίνεται διαυγέστερον, εἰ δέ τι τῶν 100
μετεχόντων μολίβδου ἢ καττιτέρου ἐν ἑαυτῷ ἐμπέσῃ, ἠλάτ-
τωται τὸν ὄγκον, τῆς χείρονος ὕλης δαπανηθείσης, οὕτω δὴ
πάντων ὁμοῦ τῶν ἀνθρώπων τῷ θείῳ καὶ δοκιμαστηρίῳ πυρί,
αὐτῷ φημι τῷ θεῷ, προσαχθέντων, ὃς μὲν ἂν φανείη καθα-
ρὰν ἔχων καὶ διαυγῆ τὴν ψυχήν, ἔτι λαμπρότερος γεγονὼς τῇ 105
τοῦ πυρὸς ὁμιλίᾳ, μισθὸν εἴληφεν ἀντέκτισιν ὄντως τῆς χρυ-
σοειδοῦς αὐτοῦ ψυχῆς καὶ τῆς ἀρρυπάντου καὶ ἀκηλιδώτου
πράξεως τὸ συναφθῆναι θεῷ καὶ ὑπομεῖναι τὸ θεῖον ἐκεῖνο
πῦρ καὶ τῷ καθαρῷ ἐκείνου ἀνακραθῆναι φωτὶ καὶ ἀποθεω-
θῆναι τῷ θεοποιήσαντι. 'μένει' γὰρ 'τὸ ἔργον αὐτοῦ, ὃ ἐπῳ- 110
κοδόμησεν'· ᾠκοδόμησε δὲ ἐν αὐτῷ πύργους καὶ ὀχυρώματα,
τὰ τῆς πίστεως ἀκαθαίρετα δόγματα, τὰ τῶν ἀρετῶν ὑψώ-
ματα, δι' ὧν τις κλιμακηδὸν ἀπὸ τῆς γῆς ἀνιὼν αὐτὸν ὁρῴη
θεόν. ταῦτα τὰ τείχη καὶ οἱ θεῖοι οὗτοι περίβολοι οὐ καταναλ-
λίσκονται τῷ πυρί, ἀλλ' ἐπὶ μᾶλλον ἑδράζονταί τε καὶ σῴζον- 115
ται. εἰ δέ τις προσέλθοι φορυτόν τινα καλάμης ἐπὶ τῆς οἰ-
κείας ἔχων ψυχῆς, εὐδαπάνητον ὕλην καὶ εὐκατάπρηστον,
ἥντινα ταύτην ὑποληπτέον (οἶμαι δὲ τὴν τῶν πονηρῶν πρά-
ξεων συναγωγήν), ὁμοῦ τε τῷ πυρὶ προσωμίλησε καὶ τὸν ἐμ-
πρησμὸν οὐχ ὑπέμεινεν. 120

Ὅθεν καὶ ἐζημίωται· ζημίαν δὲ ἐνταῦθα ὑποληπτέον, οὐχ
ὥς τινες νενομίκασι τὴν τῆς ὕλης κατάφλεξιν, ἀλλὰ τὸ μὴ τυ-

96 δὲ s: om. L || **98** τῇ om. s || **100** προσενεχθὲν s || **101** ἑαυτῷ] L: αὐτῇ s || **104** προσενεχθέντων s || **106** εἴληφεν s: εἰληφὼς L || **107** καὶ ἀκηλιδώτου om. s || **110** ποιήσαντι s || **112** τὰ² punct. dist. post ὑψώματα habet L || **113** ὁρῴη] L: ὁρᾶ τὸν s || **114** οὐκ ἀναλίσκονται s || **116** προσέλθ( ) L || **117** καὶ L: καὶ ταύτην s || **122** ὥς τινες L: οἵτινες s

χεῖν τοῦ θείου φωτὸς μηδὲ τῆς αἴγλης ἀξιωθῆναι τοῦ δοκιμάσαντος. οὗτος τοιγαροῦν 'ζημιωθήσεται' καὶ 'σωθήσεται'. δο-
125 κεῖ δὲ μάχεσθαι τὰ ῥητά· εἰ γὰρ ζημία μὲν ἡ τοῦ φωτὸς στέρησις, σωτηρία δὲ ἡ τούτου ἐπιτυχία, πῶς ἐν ταὐτῷ ὁ αὐτὸς καὶ ζημιωθήσεται καὶ σωθήσεται; ὥστε ἑτέραν ἐνταῦθα ἔμφασιν ἡ σωτηρία παρὰ τὴν εἰθισμένην προβέβληται· τὸ γὰρ σῴζεσθαι ἐνταῦθα τὸν ζημιούμενον δηλοῖ οὐ τὸ σωτηρίας
130 ἀξιοῦσθαι, ἀλλὰ τὸ μὴ καταπίμπρασθαι ἢ κατακαίεσθαι. ἐπεί φαμεν καὶ τὸν ἀδάμαντα ἐν τῷ πυρὶ σῴζεσθαι καί τινα τῶν παρὰ τὰς καμίνους ζῴων, σωτηρίαν λέγοντες τὸ διαμένειν αὐτὰ ἐπὶ τοῦ πυρὸς καὶ μήτε καταφλέγεσθαι μήτ' ἀκρωτηριάζεσθαι. σῴζεται τοιγαροῦν ἐπὶ τοῦ πυρὸς καὶ ὁ ζημιού-
135 μενος ἀθανάτου τοῦ σώματος αὐτῷ γενομένου καὶ μήτε τομαῖς ὑποκειμένου μήτε μὴν καύσεσι. καὶ ὅτι ταύτην τὴν ἔννοιαν τὸ σεσῶσθαι δηλοῖ, ἐπήγαγεν ὁ ἀπόστολος· εἰπὼν γὰρ 'αὐτὸς δὲ σωθήσεται' προσέθηκε καὶ τὸν τρόπον, 'οὕτως δὲ ὡς διὰ πυρός'. οὐ γάρ, φησί, σωτηρίας τῆς κρείττονος τεύξε-
140 ται, ἀλλὰ τῆς χείρονος τῆς διὰ πυρός.

Ἡμεῖς μὲν οὕτως τὸ ῥητὸν ἑρμηνεύομεν. Ὠριγένης δὲ ὁ λῆρος ἐντεῦθεν οἶμαι ὁρμώμενος τὴν τῶν ψυχῶν κατασκευάζει ἀποκατάστασιν, παρερμηνεύων μὲν καὶ τὴν αἰώνιον παρὰ τοῖς εὐαγγελίοις λεγομένην κόλασιν, ὣς δὲ καὶ ἀπόλαυσιν,
145 ἀποφαινόμενος δὲ σαφῶς, ὡς αἱ ἡμαρτηκυῖαι ψυχαὶ καὶ τὴν τῆς κακίας ὕλην ἐπισωρεύσασαι παρ' ἑαυταῖς μέχρι τοσούτου προσομιλήσουσι τῷ πυρί, ἕως ἂν ὁ τῆς κακίας ῥύπος αὐτῶν ἀναλωθῇ, ἐκείνου δὲ δαπανηθέντος αὖθις αὗται σωθή-

141–149 Origen. ubi? Cf. Psell. Theol. I, opusc. 70,199 sqq.

124 post τοιγαροῦν add. καὶ **s** | καὶ σωθήσεται om. **s** || **125** δὲ] δέ πως **s** || **126** ἀποτυχία **s** || **127** ὥστε **L**: ἰστέον οὖν ὡς **s** || **129** οὐ **s**: αὐτὸ **L** || **133** καὶ – **134** πυρὸς om. **s** || **135** αὐτοῦ **s** || **137** γὰρ **L**: γὰρ ὅτι **s** || **141** μὲν οὕτως **L**: μὲν οὖν οὕτω **s** || **144** τῷ εὐα(γγελίῳ) **L** | ὡς **Ls** || **146** ἀποσωρεύσασαι **s** | τούτου **s** || **147** αὐτῶν ῥύπος trp. **s**

σονται, τῷ πυρὶ χωνευθεῖσαι καὶ γενόμεναι καθαραί. ἀλλὰ τοῦτον μὲν τὸν λόγον μὴ ἀποδέξησθε ὡς οὐχ ὑγιᾶ, εἰ καὶ σαί- 150 νειν οἶδε τὴν ὑμετέραν διάνοιαν, τῶν δὲ ἀποστολικῶν ῥητῶν προσειληφότες, ὥσπερ ἡρμηνεύκαμεν, τὴν ἀλήθειαν, ἐντεῦθεν ὥσπερ ἐξ ἀκροπόλεως ὁρμώμενοι τοῦ θαυμασίου ὁρμητηρίου τὰ τῆς ἐκκλησίας ἀλλότρια κατατοξεύοιτε δόγματα.

8

Τοῦ αὐτοῦ

Ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος τὰς παρὰ τῶν αἱρετιζόντων ἀντιθέσεις πῇ μὲν ὡς αὐτῶν ἐκείνων λεγόντων ὑποκρίνεται, ὅλων ἐκείνων ὑποποιούμενος τὴν ἀντίρρησιν, πῇ δὲ λανθάνει διδασκαλικώτερον τῷ τῆς λύσεως ἐγκαταμιγνὺς μέρει, ὥσπερ 5 δὴ κἀνταῦθα πεποιηκὼς φαίνεται.

Τοῦ γὰρ Εὐνομίου τὸ ἀγέννητον καὶ γεννητὸν ὀνομάσαντος, διότι γεγέννηκε, πῇ δὲ τὸ γεννητὸν ἀγομένου εἰς τὸ ἀγέννητον, διότι ἐξ αἰτίου τοῦ ἀγεννήτου προῆλθεν, αὐτὸς ὡς ἀμαθῆ καὶ λογικῆς ἐντρεχείας ἀμέτοχον τὴν τούτου ἐλέγχει 10 ἀντίθεσιν. τὸ γὰρ ἀγέννητον, φησί (δυνάμει οὑτωσὶ λέγων), οὐ τῷ γεννῆσαι δηλοῦται, ἀλλὰ τῷ μὴ γεγεννῆσθαι, ὥσπερ δὴ καὶ τὸ ἀναίτιον οὐ τῷ αἴτιον ἄλλου τυγχάνειν, ἀλλὰ τῷ μὴ ἐξ αἰτίου πρεσβυτέρου προελθεῖν. ἐπεὶ καὶ ἀπάτορα ἐκεῖνόν φαμεν, οὐ τὸν μὴ χρηματίσαντα πατέρα παιδός, ἀλλὰ 15 τὸν μὴ ἐκ πατρὸς τὴν γένεσιν ἐσχηκότα, ὡς ἄναρχον τὸν μὴ

7–11 cf. Psell. Theol. I, opusc. 24,39–43

150 ἀποδέξοισθε **s** ‖ **152** ἀλήθειαν **L**: διάνοιαν **s** ‖ **153** τοῦ **L**: καὶ **s**

8 L 165r–167r ‖ ined. ‖ **4** scr. ὅλην vel ὅλως? ‖ **8–9** τὸ γεννητὸν … τὸ ἀγέννητον an transponenda? ‖ **10–11** ἐλέγχειαν τίθεσιν **L** ‖ **12** γεγενῆσθαι **L**

ὑπερκειμένην ἀρχὴν τῆς ἰδίας ὑπάρξεως ἔχοντα, ἀλλ' οὐχὶ τὸν ἀρχὴν ἑτέρων γεγονότα οὐσιῶν. οὐ γὰρ κοινοῦται ταυτὶ τὰ ὀνόματα, ὡς παρὰ μέρος τὰ αὐτὰ ἀγέννητα λέγεσθαι καὶ
20 γεννητά, καὶ ἄναρχα καὶ οὐκ ἄναρχα· τῷ μὲν μὴ ἐξ αἰτίας προελθεῖν ἄναρχα καὶ ἀγέννητα, τῷ δ' ἑτέροις γεγονέναι αἴτια τοῦ εἶναι γεννητὰ καὶ οὐκ ἄναρχα. ὥσπερ γὰρ ὁ Ἀδάμ, κἂν μυρίους ἐκ συνδυασμοῦ τέκῃ παῖδας, οὐκ ἂν αὐτός ποτε λεχθείη ἐκ συνδυασμοῦ γεγενῆσθαι οὐδὲ τοῖς ἐπιγεννωμένοις
25 κοινοῦται τὸ τοῦ ἀσυνδυάστου ὄνομα, οὕτω δὴ καὶ ὁ ἐπὶ πάντων θεός (ἀλλ' ἱλήκοι οὕτως ἡμῖν εἰκόσι παραδειγματιζόμενος αἰσθηταῖς) οὐκ ἠλλοίωσε τὸ τοῦ ἀγεννήτου ὄνομα τὸν μονογενῆ παῖδα 'πρὸ ἑωσφόρου γεννήσας' κατὰ τὴν θείαν γραφήν. οὐ γὰρ διότι γεγέννηκε, φησὶν ὁ πατήρ, τῆς ἀγεννη-
30 σίας ἐξέστη, ἀλλ' ὅτι μὴ ἐξ αἰτίου, ἀγέννητος καὶ γεννήσας καθέστηκεν.

Ἔστι γοῦν ἐν ταὐτῷ συνῃρημένη πως μετὰ τῆς λύσεως ἡ ἀντίθεσις· θαυμασίως δὲ προήχθη καὶ κατὰ τοὺς δεινοτάτους ὅρους. πρὶν ἢ γὰρ τὴν ἀντίθεσιν ὑποβάλλῃ, τὴν λύσιν ἐπή-
35 νεγκεν, ἵν' εὐθὺς τὸ τῆς λύσεως δεξάμενοι ἀληθὲς μισήσωμεν τῆς ἀντιθέσεως τὸ ψευδές. τὸ μὲν γὰρ 'οὔτε τοῦ πατρὸς ἐκστάντος τῆς ἀγεννησίας' λυτικόν πως δοκεῖ, τὸ δὲ 'διότι γεγέννηκεν' ἀντιθετικόν. ἡ δὲ ἔκστασις ἐνταῦθα ἀλλοιώσεως ἔχει δύναμιν· πᾶν δὲ τὸ ἀπό τινος ἀλλοιωτέον εἰς τὸ ἐναν-
40 τίον ἀφ' οὗ ἀλλοιοῦται χωρεῖ, τό τε γὰρ λευκὸν ἀλλαττόμενον εἰς τὸ μέλαν ὡς ἀντίθετον τῷ λευκῷ μεταβαίνει καὶ τὸ πυκνὸν εἰς τὸ ἀραιόν. ἐπεὶ οὖν κατὰ τὸν τοῦ Εὐνομίου λόγον ἠλλοίωται ἐκ τοῦ ἀγεννήτου γεννήσας ὁ πατήρ, εἰς τὸ γεννητὸν μεταβέβηκε· τῇ τε γὰρ γεννήσει ἡ ἀγεννησία ἀντίθετος

28 Ps. 109,3 ‖ **29–30** v. ad 36–38 ‖ **36–38** Greg. Naz. Or. 39,12 (ll. 17–18 Moreschini); cf. Psell. Theol. I opusc. 68 ‖ **39–42** cf. Arist. Cat. 15b12–16

26 ἱλήκοι Du.: ἱλήκοις Wk.: ἡλίκοις L ‖ **27** αἰσθητοῖς L ‖ **37** πῶς L

καὶ τῷ γεννητῷ τὸ ἀγέννητον. ἀλλ' οὐκ ἐξέστη τῆς ἀγεννη- 45
σίας ὁ πατὴρ γεννήσας υἱόν, οὔθ' ὁ υἱὸς γεννητὸς καὶ ὢν καὶ
καλούμενος εἰς τὸ ἀγέννητον μεταπέπτωκε, κἂν ἀπὸ τοῦ
ἀγεννήτου προῆλθε. τὰ γὰρ γεννώμενα τῶν πατρικῶν οὐσιῶν,
ἀλλ' οὐχὶ τῶν περὶ ἐκείνας ἰδιοτήτων μετέχει.

Ὁ γὰρ Εὐνόμιος ἀφιλοσόφως πάνυ μετέχειν οἰόμενος τὰ 50
γεννώμενα τῶν γεγεννηκότων ἐντεῦθεν κατασκευάζει, ὅτι καὶ
ὁ γεννητὸς υἱὸς ἐν μετοχῇ τοῦ ἀγεννήτου πατρὸς γεγονὼς
ἀγέννητος ὦπται. καὶ οὕτως οὐκ οἴδαμεν, εἰ ταῖς Ἑλλήνων
θεολογίαις ὡμιληκὼς ἐκεῖθεν ἐνταῦθα τὸν λόγον μετήγαγε,
τέως γοῦν κακῶς ἐκείνοις ἀποχρησάμενος. ἑνάδας μὲν γὰρ 55
ἐκεῖνοι τὰς ἀπὸ τοῦ ἑνὸς οὐσίας φασὶ καὶ νόας τὰς ἀπὸ τοῦ
πρώτου νοῦ καὶ ζωὰς τὰς ἀπὸ τῆς ζωῆς καὶ ὄντα τὰ ἀπὸ τοῦ
ὄντος· οὗτος γοῦν προστίθησιν ὅτι καὶ ἀγέννητα τὰ ἀπὸ τοῦ
ἀγεννήτου. ἀλλ' ὦ Εὐνόμιε, πρὸς αὐτὸν ἂν ἔγωγε φαίην, ὅτι
τῶν οὐσιῶν ἀφ' ὧν παρήχθησαν κληρονομεῖ τὰ γεννώμενα, 60
ἀλλ' οὐχὶ τῶν ἰδιοτήτων. ἐπεὶ καὶ ὁ Σὴθ ἄνθρωπος μὲν ὅτι
ἀπὸ τοιαύτης ἐγεννήθη οὐσίας, οὐ μετέσχε δὲ τοῦ ἀσυνδυά-
στου οὐδὲ τοῦ πρῶτος πεπλάσθαι παρὰ θεοῦ· ἰδιότης γὰρ ἡ
τοιάδε πλάσις τοῦ γενεάρχου Ἀδάμ. καὶ ἡ τῆς Εὔας θυγάτηρ
ἄνθρωπος, ἀλλ' οὐχὶ τμῆμα πλευρᾶς· ἰδιότης γὰρ καὶ τοῦτο 65
τῇ Εὔᾳ, ὥσπερ καὶ τῷ Ἀδὰμ τὸ μὴ γεννηθῆναι, ἀλλὰ πε-
πλάσθαι. καὶ ἁπλῶς εἰπεῖν τὸ γεννώμενον υἱοῦ μὲν ἔλαχεν
ὄνομα, ἀλλ' οὐχὶ καὶ πατρὸς εὐθύς, κἂν ἐκ πατρὸς προῆλ-
θεν· αἱ γὰρ ἀγεννησίαι καὶ αἱ πατρότητες αἵ τε γεννήσεις
καὶ αἱ υἱότητες προσηγορίαι περὶ τὴν οὐσίαν, ἀλλ' οὐχὶ 70
ταῦτα οὐσίαι· τὰ δὲ γεννώμενα τῶν οὐσιῶν κληρονομεῖ, ἀλλ'
οὐχὶ τῶν περὶ τὴν οὐσίαν. ὥσπερ οὖν, φησὶν ὁ μέγας πατήρ,
οὐκ ἐξέστη τῆς ἀγεννησίας ὁ ἐπὶ πάντων θεός, οὕτως οὐδὲ
εἰς τὸ ἀγέννητον μεταβέβηκεν ὁ γεννηθεὶς υἱός, εἰ καὶ ἀπὸ

72–73 v. ad 36–38

55 ἐκεῖνος L: corr. Wk. || **57** ζώας L | τὰ] leg. τὰς? || **70** υἱότητες Du.: υἱῶ L

75 τοῦ ἀγεννήτου προῆλθε. συμπέπλεκται δὲ ἐνταῦθα ἡ λύσις καὶ ἡ ἀντίθεσις δεινῶς ὁμοῦ καὶ γοργῶς, τὸ μὲν διὰ τῆς ἐναλλαγῆς τῆς τάξεως, τὸ δὲ διὰ τῆς ταχείας ἀνταποδόσεως.

Καὶ ταῦτα μὲν οὕτως· ὁ δὲ περὶ τοῦ πνεύματος λόγος οὕτως ἐκ τῆς τοῦ ἐναντίου καταφανήσεται διαιρέσεως. οἱ μὴ
80 γὰρ τὸ πνεῦμα δεχόμενοι οὕτω πως περὶ ἧς ᾤοντο ἀνυπαρξίας τοῦτο ἐτεχνολόγουν. ἄμεσα γὰρ οἰόμενοι τὸ γεννητὸν καὶ τὸ ἀγέννητον, εἰ μὲν γεννητόν, ἔφασκον, τὸ πνεῦμα, υἱὸς καὶ οὗτος, εἰ δὲ ἀγέννητον, πατήρ. ἀλλὰ δυοῖν θάτερόν ἐστιν, ὥστε ἢ δύο πατέρες καὶ δύο ἀγέννητοι ἢ δύο υἱεῖς.
85 οὕτω μὲν ἐκεῖνοι τὸν περὶ πνεύματος παρίστων λόγον. ἀλλ' ὁ θεῖος οὗτος πατὴρ αὐτῆς τῆς πρώτης σοφίας ἐχόμενος, ἐν οἷς αὐτή φησι περὶ τοῦ πνεύματος, ὅτι 'ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται', οὐ πᾶν, φησίν, ἀγέννητον ἢ γεννητόν, ἀλλ' ἔστι καὶ τὸ ἐκπορευτόν. τῷ μὲν γὰρ ἐκ τοῦ πατρὸς παρῆχθαι τὸ
90 πνεῦμα οὐ πατήρ, τῷ δὲ μὴ γεννητῶς, ἀλλ' ἐκπορευτῶς, οὐχὶ υἱός. τῷ μὲν γὰρ υἱῷ κοινωνεῖ τῷ ἐξ αἰτίου προελθεῖν τοῦ πατρός, διαλλάττει δὲ τῷ μὴ κατὰ γέννησιν προελθεῖν, ἀλλ' ἐκπόρευσιν. τὸ μὲν οὖν πρότερον καὶ δεύτερον, ὅτι ἐπὶ τοῦ πατρὸς κείμενον, καὶ τοῦ υἱοῦ, ἀντιθέσεως ἔχει δύναμιν· οὐ
95 γὰρ τόδε, φησίν, ὅτι τόδε, οἷον οὐχὶ γεννητὸν ὁ πατήρ, ὅτι γεγέννηκεν, οὐδὲ ἀγέννητον ὁ υἱός, ⟨***,⟩ ὅτι ἐκπεπόρευται, τουτέστιν οὔτε τῷ ἀγεννήτῳ συνήρμοσται οὔτε μετὰ τοῦ γεννητοῦ τέτακται. διὰ τί, ὦ θεολόγων ἀκρότατε; ὅτι ἐκπεπόρευται· οὐ γὰρ διότι ἐκπεπόρευται, θεός, ἀλλ' ἐπειδὴ ὁ τοῦ
100 ἀντιθέου λόγος ἐτίθετο μὴ εἶναι τὸ πνεῦμα θεὸν διὰ τὸ ἢ δύο πατέρας εἶναι ἢ δύο υἱούς, ὅπερ ἦν ἄτοπον, λέλυκε δὲ τοῦτο ὁ πατὴρ διὰ τοῦ τῆς ἐκπορεύσεως ὀνόματος, διὰ τοῦτό φησιν, ὅτι ἀνῃρημένου τοῦ λόγου, ᾧ δὴ ὁ Εὐνόμιος τὴν τοῦ

87–88 Ioann. 15,26

78 πνεύματος Wk.: π(ατ)ρ(ὸ)ς L ‖ **96** lac. indicavimus; sententia fere haec ὅτι ἐκ τοῦ ἀγεννήτου προῆλθεν, οὐδὲ τὸ πνεῦμα ἢ εἰς πατέρα μεταπίπτει ἢ εἰς υἱόν

πνεύματος ἀνῄρει ὑπόστασιν, καὶ κατὰ τὸ ἀντικείμενον εὑρεθείσης τῆς ἐκπορεύσεως, θεὸς ἀναπέφηνε τὸ πνεῦμα ἀριδηλότατα, 'εἰ καὶ μὴ δοκεῖ' φησὶ 'τοῖς ἀθέοις'. 105

Ἀλλὰ πῶς ἄθεοι, θεὸν τὸν πατέρα καὶ τὸν υἱὸν προσέμενοι; ὅτι μὴ ἐν τοῖς δυσίν, ἀλλ' ἐν τοῖς τρισίν. οἱ γοῦν ἕν τι τῶν τριῶν ἀθετοῦντες τὸ πᾶν ἠθετήκασι, πᾶν δὲ ἡ θεότης· ὥστε καὶ ἄθεοι. καὶ τὴν ἀμαθίαν ἐπιστομίζει τοῦ αἱρετίζοντος, ὅτι δεχόμενος τὸ ἀγέννητον ⟨καὶ⟩ τὸ γεννητὸν καὶ τὸ ἐκπορευτὸν φωνὰς εἶναι τῶν ὑποστάσεων χαρακτηριστικάς, πῶς μεταπίπτειν ταύτας εἰσάγεις, ὡς νῦν μὲν γεννητὸν ὀνομάζειν τὸν ἀγέννητον πατέρα, νῦν δὲ τὸν γεννητὸν υἱὸν ἀγέννητον, νῦν δὲ τὸ ἐκπορευτὸν πνεῦμα γεννητὸν καὶ ἀγέννητον; αἱ γὰρ ἰδιότητες, ὦ τᾶν, οὐκ ἂν ἐπ' ἄλλου ποτὲ γένοιντο κατὰ τὰς σὰς ἐπιστήμας· καὶ εἴ γε τῷ φιλοσόφῳ Ἀριστοτέλει προσωμίλησας ἢ Πλωτίνῳ καὶ Πορφυρίῳ καὶ τοῖς κατ' ἐκείνους σοφοῖς, οὐκ ἄν ποτε τὰς ἰδιότητας, ὧν τὸ ἄθροισμα τὴν ἀφωρισμένην γνωρίζει ὑπόστασιν, ἐφ' ἑτέραν ὑπόστασιν μετεβίβασας. εἰ γὰρ καὶ κοινώσει τινὰ τούτων πρὸς ἕτερα, ἀλλ' οὐχὶ πάντα· οὐ γὰρ δὴ καὶ τὸν τόπον, εἰ μὴ σῶμα διὰ σώματος θεσπίζεις χωρεῖν. οὐ δυσωπεῖ δέ σε καὶ τὸ τῆς ἰδιότητος ὄνομα αὐτοῦ ἐκείνου λεγόμενον ἴδιον, ᾧ δὴ καὶ ἰδίωται, εἰ δὲ πρὸς ἕτερον μετατίθης, οὐκ ἰδιότης, ἀλλὰ κοινότης; τὰ δὲ ὀνόματα, ὦ λῷστε, τῶν ὑποκειμένων δηλωτικὰ φύσεων κατὰ τὸν σὸν Πλάτωνα. καὶ ὥσπερ ἡ κοινότης οὐκ ἰδίωταί τινι, οὕτως ἡ ἰδιότης οὐ κεκοίνωται· πῶς γὰρ ἰδιότης μένοι κινουμένη καὶ μεταπίπτουσα; 110 115 120 125

Δόξει μὲν οὖν τισι πλείονα ἡμᾶς εἰρηκέναι ὧν ὁ μέγας πατὴρ εἴρηκεν· εἴπομεν δὲ οὐδὲ τὸ πολλοστὸν ὧν ἐκεῖνος ἐν 130

106 Greg. Naz. Or. 39,12 (l. 21) || **119–120** cf. Porphyr. Isag. CAG IV 1, p. 7,21–23 || **126–127** cf. Plat. Crat. 383a4–5; 393e2–9

104 πνεύματος Wk.: π(ατ)ρ(ὸ)ς **L** || **107** προέμενοι **L**: corr. Wk. || **108** οἱ γοῦν Wk.: ἤγουν ut vid. **L** || **111** καὶ add. Wk. || **112** φωνὰς scr. Wk.: πν(εῦμ)α **L** || **122** οὐ ... τόπον] an sanum? || **123** θεσπίζ( ) **L**

ὀλίγαις προέθηκε λέξεσιν, ἀλλ' ὥσπερ ἡ καλάμη τοῦ σπέρματος ἐκβλαστήσασα πολλήν τινα τὴν περιττότητα δείκνυσιν, οὐ πᾶσαν δὲ τὴν τοῦ σίτου πεφανέρωκε δύναμιν, ἀλλὰ
135 πολὺ τὸ ἐλλελειμμένον τοῦ προβεβλημένου, οὕτω δὴ καὶ ἡμεῖς ἀπὸ τοῦ θείου τούτου σπέρματος οἷα δή τις καλάμη ἀναδραμόντες, νῦν μὲν ἀποτεταμένα ἐξηπλώσαμεν τὰ νοήματα, νῦν δὲ συνεχέσι συνδέσμοις τῶν ἐννοιῶν οἷά τισι περιεζώσαμεν γόνασι· καὶ νῦν μὲν τὰς πρὸς τὸν Εὐνόμιον τῶν λό-
140 γων ὀξύτητας οἷα δή τινας ἀκάνθας ἀνηνέγκαμεν, νῦν δὲ περιβολαῖς φιλοσόφοις τοὺς λόγους πυκάσαντες οἷα λέμμασι καὶ ποικίλως τοῦ σπέρματος καταδυναστεύσαντες οὐχ ὅσον ἐν ἐκείνῳ τῆς δυνάμεως ἦν προβεβλήκαμεν, ἀλλ' ὁπόσον τῇ μὴ εὐγαίῳ προσῆν ἡμῶν γῇ μηδὲ πολλῆς τετευχούσῃ λιπότη-
145 τος ἀνεβλαστήσαμεν· οὗ δὴ καὶ ἡμιφανῶς κρυπτομένου τῇ βώλῳ συγγνοίητε, ὅτι μὴ θείας δρόσου μηδὲ τοῦ τῆς δικαιοσύνης ἡλίου πρὸς τὴν ἐκβλάστησιν τετυχήκαμεν.

9

Τίς ὁ παράδεισος, τί τὸ τῆς ζωῆς ξύλον καὶ τί τὸ ξύλον τῆς γνώσεως;

Δένδρα ἐπὶ γῆς οὔτε πέφηνέ πω πρότερον οὔτ' αὖθις εἰκὸς φανεῖσθαι ζωῆς ἢ συνέσεως. ἀλλ' ὁ λόγος αἰνίττεται διὰ μὲν
5 τοῦ παραδείσου τὸ τῆς ψυχῆς ἡγεμονικόν, ὅπερ ἐστὶ κατάπλεων οἷα φυτῶν μυρίων δοξῶν λογικῶν, διὰ δὲ τοῦ δένδρου

146 δρόσου] cf. Gen. 27,28? || **146–147** δ. ἡλίου] cf. Mal. 3,20
1–2 Gen. 2,9

132 λεξέσιν L || **145** ἀνεκβλαστήσαμεν L
9 L 246[r–v] **O** 438[r–v] **Q** 244[v]–245[r] **a** 292–294 **n** 122[v]–123[r] || edd. K.-D. I 415–416 (ex **L**); Gautier "Collections", pp. 55–56 (ex **a**) || **1** mg. (al. man.?) τοῦ αὐτοῦ **Q** | ξύλον τῆς ζωῆς trp. **a** | καὶ om. **OQ**

τῆς ζωῆς τὴν θείαν σοφίαν, τὴν μονοειδῆ γνῶσιν καὶ ἀπαρέγκλιτον, δι' ἧς ἀθανατίζεται ψυχή, διὰ δὲ τοῦ ξύλου τῆς τῶν ἐναντίων γνώσεως φρόνησιν τὴν μέσην, δι' ἧς διακρίνεται τὰ φύσει ἐναντία, καὶ τῶν ἄλλων δὲ ἕκαστον δένδρων δύναμίς 10 τις ἦν τῆς ψυχῆς πρὸς θεοσέβειαν ἄγουσα.

Καὶ πάντων μὲν μεταλαβεῖν ὁ τοῦ γένους ἡμῶν ἀρχηγέτης ἐκεκέλευστο, μόνον δὲ αὐτῷ ἀπηγόρευτο εἰς μετάληψιν τὸ ξύλον τῆς τοῦ καλοῦ καὶ πονηροῦ γνώσεως. ἔδει γὰρ ἑτέρων μεταλαβεῖν τοῦτον πρότερον γνώσεων, εἶθ' οὕτως ἱκανῶς 15 ὑψωθέντα ταῖς πρὸς θεὸν ἀναβάσεσιν οἷον ἀπὸ σκοπιᾶς ἰδεῖν καὶ τὸ ξύλον τῆς γνώσεως κατὰ τὴν ἐπιστατικὴν δύναμιν τῆς φρονήσεως καὶ μετρίως αὐτοῦ διὰ νοήσεως ἅψασθαι. εἰ μὲν γὰρ δυναμωθείημεν πρὸ τῆς τῶν ἐναντίων διακρίσεως, οὐκ ἂν ἐπ' αὐτῇ τῇ κρίσει ἀπατηθείημεν τῇ παραθέσει τοῦ καλοῦ 20 καὶ τοῦ μὴ τοιούτου εἰς τὸ χεῖρον ἀποφερόμενοι· πρώτως δὲ ἐπ' αὐτὴν ἐρχόμενοι τὴν διάκρισιν, ἐπειδὴ οὐ γυμνὸν πρόκειται τὸ κακόν, ἀλλά τινι καλοῦ φαντασίᾳ προσκεχρω⟨σ⟩μένον, ἀνταλλαττόμεθα τοῦτο τῆς πρὸς τὸ καλὸν οἰκειώσεως. διὰ ταῦτα ἀπείργεται τοῖς τοῦτο παθοῦσιν ἡ τῆς ἀθανασίας 25 μετάληψις, ἵνα μὴ ἀθάνατον ἔχωμεν τὴν κακίαν τῇ τῆς ζωῆς μεταλήψει διαιωνίζοντες.

Ἐπεὶ δὲ καὶ τῶν ἐν ἡμῖν δυνάμεων τὸ μὲν οἷον ἀκριβῶς ἄρρεν ἐστίν, ὥσπερ ὁ νοῦς, τὸ δ' ἔοικε θήλει, ὥσπερ ἡ αἴσθησις, οὐκ εὐθὺς τῷ ἀρρενωπῷ τῆς ψυχῆς μέρει ὁ σοφιστὴς τῆς 30 κακίας προσβάλλει, ἀλλὰ τὴν θήλειαν πρῶτον ἐξαπατᾷ αἴσθησιν καὶ οὕτω δι' αὐτῆς καὶ τὴν ἡγεμονίαν τοῦ νοῦ κατασύ-

7–9 cf. infra 20,21–22 ‖ **12–14** Gen. 2,16–17 ‖ **22–23** cf. supra 6,125–127 ‖ **25–27** cf. infra 20,28–31

7 ἀπαρέγκλιτον] ἀπαράλλακτον coni. Billius (PG 127, 1337, n. 17), fort. recte ‖ **10** καὶ om. **O** ‖ **11** ἀνάγουσα **a** ‖ **13** ἐκεκέλευτο **L** ‖ **17** κατὰ] καὶ **O** ‖ **18** μετρίας **a** μέτρου **O** | διὰ νοήσεως **L**: διανοήσεως **OQa**, et **n** ut vid. ‖ **19** δυναμωθ et spat. vac. 4 litt. **O** ‖ **22** ἀρχόμενοι **L** ‖ **23** προσκεχρωμένον **L**; v. supra ad 6,126 ‖ **25** τοῖς om. **a** ‖ **28** ἐπειδὴ (om. δὲ) **a** ‖ **30** post εὐθὺς add. οὖν **a**

ρεται. καὶ ἡ μὲν αἴσθησις ἀπατᾶται (ἐναντίος γὰρ ταύτῃ
πανταπασιν ὁ τὴν πονηρὰν ὑποτιθέμενος συμβουλήν), ὁ δὲ
35 νοῦς ὑπὸ τῆς αἰσθήσεως πείθεται· καὶ οὕτω τοῦ μὲν ἀπατή-
σαντος, τοῦ δὲ πεισθέντος διὰ μέσης αἰσθήσεως ἡ ἐντολὴ
παραβαίνεται καὶ ἡ τοῦ παραδείσου ἔκπτωσις γίνεται.
Καὶ γυμνοῦνται ἄμφω, καὶ ὁ νοῦς καὶ ἡ αἴσθησις, ὁ μὲν
τῆς θείας ἐρημωθεὶς δυνάμεως, ἣν ἐνεδέδυτο, ἡ δὲ τῆς πιθα-
40 νουργικῆς ἰσχύος, ἣν τῷ πρωτοπλάστῳ προσήνεγκεν· ἡ γὰρ
αἴσθησις, ὅτε πρῶτον τὸν νοῦν πείθειν ἐπιχειρεῖ, δοκεῖ τινα
ἔχειν πειθὼ καὶ δύναμιν διαλέξεως, ἐλεγχομένη δὲ ὕστερον,
ὡς πάντων ὧν προειρήκει διέψευσται, γυμνή τις καὶ ἀκαλλώ-
πιστος φαίνεται. διὰ ταῦτα καὶ ὁ πεισθεὶς καὶ ἡ πεισθεῖσα
45 ἐστέρηνται τῶν οἰκείων περιβολῶν καὶ τῆς θείας γνώσεως
οἷόν τινος παραδείσου ἀποδιώκονται, καὶ ῥομφαία φλογοει-
δὴς φυλάττειν αὐτὸν ἐπιτέτακται. τίς δὲ αὕτη; ἡ φοβερὰ καὶ
ἀνεπιχείρητος τοῖς ἡμαρτηκόσιν, ὥστε τῶν θείων παραψαύειν
⟨μὴ⟩ κατατολμᾶν, δύναμις ἐπιτεταγμένη παρὰ τοῦ κρείττο-
50 νος.

10

Περὶ τοῦ ἀπο⟨πο⟩μπαίου κριοῦ

Ἠρώτησας, πηνίκα τοῦ ἔτους ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια τῶν
ἁγίων εἰσῄει. ἴσθι τοιγαροῦν, ὅτι κατὰ τὴν δεκάτην τοῦ ἑβδό-
μου μηνός, φημὶ δὴ τοῦ Θερσί· κατὰ ταύτην γὰρ καὶ ἡ τοῦ

46–47 Gen. 3,24
2–5 cf. Theodoret. Quaest. in Lev. XXII PG 80,328 A ‖ **4** Lev. 16,29

37 παραδείσσου **L** ‖ **38** γυμνοῦται **OQ** | καὶ[2] om. **Q** ‖ **39** ἐνεδέδοτο ut vid. **a** ‖ **46** παραδείσσου **LQ** ‖ **49** μὴ **n**, Kurtz | ἐπιτεταμένη **a**
10 V 268ᵛ–269ʳ ‖ ed. K.-D. I 417–418 ‖ **1** ἀπομπαίου **V**

ἱλασμοῦ ἐτελεῖτο πανήγυρις, ἐν ᾗ καὶ θύματα ἐγίνετο, τὰ μὲν 5
ὑπὲρ αὐτοῦ τοῦ ἀρχιερέως, τὰ δὲ τῶν συνειλεγμένων ἐκεῖσε
ἕνεκα. δύο γοῦν ὑπὲρ τούτων ἀφωσιοῦντο κριοί, καὶ κατὰ
κλῆρον ὁ μὲν ἱερεύετο, ὁ δὲ τῷ ἀποπομπαίῳ εἰς τὴν ἔρημον
ἀπεστέλλετο.

Ἐντεῦθεν γοῦν τινες δεισιδαιμονίαν, ἵνα κυριολογῶν εἴ- 10
ποιμι, προστρίβονται τῷ δημαγωγῷ Μωυσῇ· οἴονται γὰρ τὸν
ἀποπομπαῖον τοῦτον δαίμονά τινα εἶναι τῆς ἀποπομπῆς τοῦ
κριοῦ προστάτην καὶ ἔφορον. πεπόνθασι δὲ ταύτην τὴν ἔν-
νοιαν παρὰ τὸν τῆς λέξεως σχηματισμόν. ἀντὶ γὰρ τοῦ εἰπεῖν
τὸν ἐξελληνίσαντα τὴν διάλεκτον 'εἰς ἀποπομπήν', 'ἀποπομ- 15
παῖον' ἡρμήνευσεν, ὅθεν οἱ μετὰ ταῦτα τὰς αὐτὰς λέξεις
ἐξελληνίσαντες τὸν κριὸν 'ἀποπομπαῖον' εἰρήκασιν, οἱ δὲ
'ἀπεσταλμένον', οἱ δὲ 'ἐλεύθερον'. οὔκουν ἀποπομπαῖός τις
δαίμων τὴν τοῦ κριοῦ ἐλευθερίαν ἐλάμβανεν, ἀλλ' ἐκεῖνος
ἀποπεμπόμενος ἦν εἰς τὴν ἔρημον. 20

Οὐκ ἀλόγως δὲ τοῦτο ἐπράττετο, ἀλλὰ τὰ γινόμενα τῶν
ἐσομένων προαναφώνησις ἦν. ἐπειδὴ γὰρ τοῖς αἰσθητοῖς θύ-
μασι τὸ νοητὸν θῦμα, ὁ ὑπὲρ ἡμῶν τυθεὶς λόγος, ἐγκαταμέ-
μικτο, διπλοῦς δὲ οὗτος, θεός φημι καὶ ἄνθρωπος, καὶ τὸ μὲν
αὐτοῦ ἐθύετο, ἤτοι τὸ ἀνθρωπικὸν μέρος, ἡ δὲ ἠλευθέρωτο, 25
ἡ θεία φύσις καὶ ἀπαθής, διὰ ταῦτα ὁ μὲν τῶν κριῶν ἐθύετο,
σύμβολον ὢν τῆς θνητῆς ὑποστάσεως, ὁ δὲ ἐλεύθερος ἀπε-
πέμπετο, τὴν ἐλευθέραν καὶ κρείττω τοῦ λόγου φύσιν χαρακ-
τηρίζων. εἰ δὲ εἰς τὴν ἔρημον ὁ κριὸς ἀπεπέμπετο, καὶ τοῦτο
δεῖγμα τῆς ἀξίας τοῦ κρείττονος· τὸ μὲν γὰρ σωματικὸν αὐ- 30
τοῦ μέρος καὶ ὅλως ἀνθρωπικὸν συναγελαστικὸν ἦν τοῖς πολ-
λοῖς, τὸ δὲ τῆς ἑτέρας ὑποστάσεως παντάπασιν ἀκοινώνητον.

7–20 cf. Theodoret. ibid. 328B–329A ‖ **22–28** cf. ibid. 329A–B

7 τούτ( ) **V** ‖ **8** ἀποπεμπαίω **V** ‖ **12** ἀποπεμπαῖον **V** ‖ **26** ἐτύθετο **V**: corr. Kurtz

11

Τὸ μακρὸν σχοινίον, ᾧ ἐπισπῶνται τὰς ἁμαρτίας αὐτῶν οἱ πολλοί, οἷς δὴ καὶ ὁ προφητικὸς λόγος τὸ οὐαὶ ἐπιφθέγγεται, ἡ διὰ φαντασίας ἐστὶν ἀνατυπωτικὴ πλάσις τοῦ ἁμαρτήματος. ἔοικε γὰρ τοῖς τοιούτοις πόρρω μὲν τὸ κακὸν κεῖσθαι,
5 ἕλκεσθαι δὲ καθάπερ τινὶ σχοινίῳ συρόμενον τῷ διὰ τῆς ἀναμορφώσεως πλάσματι. βουλόμενοι γὰρ κεντρίσαι τὴν ἑαυτῶν φύσιν εἰς ἀτόπους ἐπιθυμίας καὶ ὄρεξιν ἀφροδισίων ἐργάσασθαι μορφάς τινας ἀναπλάττουσι καὶ διαλόγους σκηνοποιοῦσιν ὥσπερ ἐν δράματι, εἶτα δὴ διὰ τῆς τοιαύτης εἰδω-
10 λοποιίας τὴν ἁμαρτίαν ἐφέλκονται.

Ἡ πλάσις οὖν αὕτη σχοινίον μὲν τῷ προφήτῃ ὠνόμασται, οὐλὴ δὲ ἀγαπητῶς ἐξαλειφομένη τῷ μεγάλῳ προσηγόρευται Γρηγορίῳ· 'εἰ γὰρ καὶ τὰς οὐλάς' φησιν 'ἐξαλείφομεν, ἀγαπῴην ἄν.' ἡ μὲν γὰρ πρᾶξις τῆς ἁμαρτίας οἷόν τι τραῦμά
15 ἐστι καὶ ἴαται πολλάκις εὐκαίρως ὑγιαζόμενον, μένει δὲ ὥσπερ τις οὐλὴ τὸ ἴχνος τῆς ἐνθυμήσεως, καὶ δεῖ τὸν ἀγωνιστὴν πρῶτα μὲν πρὸς τὰς ἡδυπαθείας ἀνταγωνίσασθαι, εἶτα δὴ καὶ πρὸς τὰς φαντασίας, ἀφ' ὧν ἐκεῖναι, ἐπαποδύσασθαι.

Ὁ δὲ λεῖος ἐκ φύσεως Ἰακὼβ διὰ τὴν ἐπίκτητον τῶν τρι-
20 χῶν δασύτητα τὴν πατρικὴν κερδήσας εὐχὴν σύμβολόν ἐστι ψυχῆς χρηστοτάτης μὲν ἀπὸ φύσεως καὶ ἐπιεικεστάτης καὶ οἷον ὁμαλωτάτης καὶ λείας παντάπασιν, εἶτα δὴ καὶ τὴν τῆς ἀσκήσεως δεξαμένης τραχύτητα καὶ οὕτω κληρονομούσης τῶν παρὰ τοῦ θεοῦ ὑψηλοτάτων εὐλογιῶν. εἰ γὰρ καὶ τὸ χρη-
25 στὸν τῆς γνώμης καὶ ἡ καλοκἀγαθία τῆς φύσεως λυσιτελέστατον πρᾶγμα πρὸς τὴν τοῦ καλοῦ κληρονομίαν, ἀλλ' εἴ τις πρὸς τῇ ἐμφύτῳ χρηστότητι καὶ δασυνθείη κατὰ θεὸν καὶ ἀποχρώντως ἀποτραχυνθείη τὸ σῶμα, οὗτος τὸν θεὸν καὶ

1–2 Is. 5,18 || **13–14** Greg. Naz. Or. 40,8 (l. 24 Moreschini) || **19–20** Gen. 27,11–23

11 V 269r–v || ed. K.-D. I 419–420 || **8** σηκοποιοῦσιν V: corr. Kurtz

πατέρα τρέφειν δεδύνηται οὐκ ἀπολλυμένῳ βρώματι, ἀλλ' ἀφθάρτῳ καὶ αἰωνίῳ. 30
'Τεθαυμάστωται' δὲ ὁ θεὸς ἐξ ἡμῶν, ὅτι μικρόν τι μόριον τοῦ παντὸς ὄντες πᾶσαν τὴν αἰσθητὴν οὐσίαν καὶ νοητὴν ἐν ἑαυτοῖς δείκνυμεν.

12

Ὁ υἱὸς τοῦ Ῥωμελίου, Ταβεὴλ καὶ Ἐφραίμ, οἱ κατοικοῦντες τὴν Ἰουδαίαν, ὁ θυμός ἐστι καὶ ἡ ἐπιθυμία, οἱ τῷ τῆς ἐξομολογήσεως λόγῳ ἐπιβουλεύοντες. τὰ δὲ ⟨ἑξήκοντα⟩ καὶ πέντε ἔτη τὰ ἐγκαταλελειμμένα τῷ Ἐφραὶμ εἰς δυναστείαν ἡ ἐν αἰσθήσει τελειότης ἐστίν· ὁ μὲν γὰρ ἑξήκοντα εἰς δεκάδα συγ- 5 κιρναμένου τοῦ ἓξ συνίσταται, ὅστις ἐστὶ πρῶτος τῶν τελείων ἀριθμῶν, ὁ δὲ πέντε τὴν τῶν αἰσθήσεων πεντάδα αἰνίττεται· ἃ δή φησιν ὁ λόγος ἐκλείψειν. τὸ δὲ σημεῖον τοῦ βάθους καὶ τοῦ ὕψους πληροφορία τις ἦν πρὸς τὸν Ἀχὰζ τοῦ ἐξ ἀνατολῶν ἥξοντος κυρίου ἐπὶ δυσμὰς τῆς ἡμετέρας εὐτελείας καὶ 10 ταπεινότητος.

Οἱ μέντοι γε τοῦ πατρὸς νόμοι, οὓς φυλάττειν ὁ Παροιμιαστὴς ἐγκελεύεται, καὶ οἱ τῆς μητρὸς θεσμοί, οὓς προστάττει μὴ ἀπωθεῖν, οἱ θεῖοι τοῦ θεοῦ εἰσι λόγοι τῇ ἡμετέρᾳ ἐγκατεσπαρμένοι ψυχῇ καὶ αἱ τῆς τιθηνησάσης ἡμᾶς πίστεως ὑπο- 15 θῆκαι.

Τὰ δέ γε ὕδατα τῶν οἰκείων ἀγγείων ἥ τε πηγὴ τῶν ἡμε-

31 Ps. 138,6
1–11 cf. Is. 7,1–11 ‖ **2** cf. Psell. Theol. I, opusc. 38,145–147 ‖ **2–3** ibid. 38,124–125 ‖ **7** ibid. 38,157 ‖ **8–9** Is. 7,11 ‖ **12–14** Prov. 6,20 ‖ **17–18** ibid. 5,15

12 V 269v–270r ‖ ed. K.-D. I 421–422 ‖ **1** Ταβεὴλ Kurtz (sec. LXX): ταμεὴλ V | exspectes καταπολεμοῦντες vel πολιορκοῦντες ‖ **3** suppl. Kurtz (e LXX) ‖ **6** πρῶτος Kurtz: πρώτως V ‖ **9** ὕψους LXX: ὕφους V

δαπῶν φρεάτων αἱ ἀγαθαί εἰσιν ἐνέργειαι τῶν ἐμφύτων ἡμῖν λόγισμῶν· ἡ δὲ πηγὴ αὐτὴ τῶν ἐνεργειῶν ἡ δύναμις. ἐπεὶ δὲ
20 οὐκ ἀφοριστικὸς μόνον ἑκάστῳ ὁ λόγος, ἀλλὰ καὶ μεταδοτικὸς παντὶ τῷ βουλομένῳ πιεῖν, 'ὑπερεκχείσθω σοι' φησὶ 'τὰ ὕδατα ἔξω ἐκ τῆς σῆς πηγῆς'.

Τὸ δὲ 'συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου' ἔχει μὲν καὶ αὐτόθεν τὴν ὠφέλειαν προφανῆ, ὁ δὲ λόγος ἀλ-
25 ληγορούμενος γυναῖκα δεδομένην ἡμῖν ἐκ νεότητος τὴν εἰλικρινεστάτην ψυχὴν αἰνίττεται, ἥτις ἄχραντος μὲν ἡμῖν ἐκ νεότητος δέδοται, ῥυπαίνεται δὲ τῷ ἐφεξῆς βίῳ συμμοχθηρευομένη τῷ σώματι. διὰ ταῦτά φησι, 'μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν'· τὸ γὰρ ὕστερον ἐγγινόμενον τῇ ψυχῇ εἶδος ἐκ
30 τῶν παθῶν ἀλλότριόν ἐστι τῆς ἡμετέρας φύσεως. 'μηδὲ συνέχου' φησὶν 'ἀγκάλαις ταῖς μὴ ἰδίαις'· ἀγκάλη ἐστὶν ἀλλοτρία ἡ διὰ τῆς φιληδονίας περιπλοκή, συνέχουσα ἡμᾶς καὶ συσφίγγουσα καὶ δολίοις κατασπαζομένη φιλήμασιν.

13

Ἐζήτησας, τί μὲν τὸ τῆς δόξης τοῦ θεοῦ σκήνωμα, τίς δὲ ὁ οἶκος αὐτοῦ καὶ τίς ἡ εὐπρέπεια· 'ἠγάπησα' γάρ φησιν ὁ ψαλμῳδὸς 'εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου.' ὁ μὲν οὖν θεὸς ἀχώρητός ἐστι φύσις καὶ ἀπεριόρι-
5 στος τῷ παντὶ καὶ οὔτ' ἂν αὐτὸν οἶκος εὐπρεπὴς ὑποδέξαιτο οὔτε σκήνωμά τι τὴν ἐκείνου δόξαν χωρήσειεν, ὁποῖον ἄν τις ὑπονοήσειεν, εἴτε ἀνθρωπικὸν εἴτε ἀγγελικόν. ἐπεὶ δὲ καθάπερ δὴ ἀστράπτων ἥλιος ἐν ταῖς καθαρωτέραις μᾶλλον ἰνδάλλεται φύσεσιν, οἶκος μὲν ἐκεῖ χωρητικὸς κατά τι λεπτὸν

21–22 ibid. 5,16 || **23** ibid. 5,18 || **28–29** ibid. 5,20 || **30–31** ibid. 5,20
2–4 Ps. 25,8

25 εἰλικρινεστάτην V || **32** συνέχουσα Wk. (cf. 30): συνάγχουσα Kurtz: συνάγουσα V
13 V 270[r–v] || ed. K.-D. I 423–424

εἶδος ὑποδοχῆς ἡ κεκαθαρμένη ψυχή, ὥσπερ οἶκος κατε- 10
στρωμένη μὲν εὐαρμόστως ταῖς ἀρεταῖς, εὐτρεπισμένη δὲ
ἱκανῶς τοῖς συνεθισμοῖς τῶν θειοτέρων κατανοήσεων, σκή-
νωμα δὲ τῆς ἐκείνου ἀπειραγάθου σοφίας (τοῦτο γὰρ ἡ δόξα
αἰνίττεται), μᾶλλον δέ, ὡς αὐτός φησιν ὁ Δαυίδ, 'τόπος τοῦ
σκηνώματος τῆς δόξης αὐτοῦ' ὁ θεωρητικώτατος νοῦς. μόνος 15
γὰρ οὗτος, εἰ καὶ ἀμυδρῶς, χωρήσειεν ἂν τῆς ἐκείνου δόξης
τὸ σκήνωμα.

Τὸ δέ γε 'ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ' διαφόρως
οἱ τοὺς ψαλμοὺς ἐξηγησάμενοι ἡρμηνεύκασιν. οἱ μὲν γὰρ
κατὰ τὴν ἐν τῷ καθαρῷ νοῒ κατασκήνωσιν τοῦ θεοῦ τὸν λό- 20
γον ἐδέξαντο, οἱ δὲ κατὰ τὴν ἐν τῇ θεοτόκῳ οὐσιώδη ἐνοίκη-
σιν τὸ ῥητὸν διεγνώκασι, καὶ ἄλλοι ἄλλας τοῦ αὐτοῦ ἐννοίας
ἀποδεδώκασιν. ἵν' οὖν μὴ καὶ αὐτὸς θεωρίας τοιαύτας ἑτέ-
ροις ἐπεξεργάσωμαι, δοκεῖ μοι μηδὲ ἱστορικὸν περὶ τοῦ ἡλίου
εἶδος ἀπόβλητον εἶναι τῷ λόγῳ. ἵνα γὰρ σύνθετον ὁ Δαυὶδ 25
τὸν μέγαν φωστῆρα δείξῃ ἀπό τε τῆς ἡλιακῆς σφαίρας καὶ
τοῦ ἐπιπλακέντος ταύτῃ φωτός, 'ἐν τῷ ἡλίῳ' φησὶν 'ἔθετο τὸ
σκήνωμα αὐτοῦ,' τουτέστιν, ἄλλο μὲν τὸ ὑποκείμενον, ὅπερ
ἐστὶν ὁ ἥλιος, ἄλλο δὲ τὸ περιπτυσσόμενον αὐτὸν φῶς, ὅπερ
ἐστὶν εἶδος ἐκείνου καὶ σκήνωμα. 30

14

Ἔκθεσις τῆς Εὐνομίου αἱρέσεως

Ἐζήτησας, εἰ ἔχοιμι ἐκ τοῦ προχείρου σχεδιάσαι σοι τὴν
Εὐνομίου περὶ τὸ θεῖον κακοτεχνίαν· οὗτος γὰρ μόνος τῶν
πάντων ἐθάρρησε τέχνην οἷον ἀσεβείας δημιουργῆσαι.

Ἔστιν οὖν, ὡς τὰ πολλὰ τῶν ἐκείνου ἐν βραχεῖ συν- 5

11–12 cf.? Plot. Enn. I 3,3,6 || **18** Ps. 18,5

14 O 440ᵛ–441ʳ || ed. Pontikos *Anonymi* 105–108 || **5** ξυνηγήοχα, σ supra ξ, **O**

αγήοχα, τοιαύτη τις. κατατέμνει τὴν ἁγίαν καὶ μακαρίαν τριάδα ὁ δείλαιος ὑποστάσεσι μείζοσι καὶ ἐλάττοσι· καὶ τὸν μὲν πατέρα ἀνωτάτω καὶ κυριωτάτην οὐσίαν καλεῖ, τὸν δὲ υἱὸν ἐξ αὐτοῦ μέν φησι τὸ εἶναι λαβεῖν, μετ' ἐκείνην δὲ εἶναι,
10 καὶ οὗτος τῶν ἄλλων πρωτεύει· τὸ δὲ ἅγιον πνεῦμα τρίτην οὐσίαν τίθεται καὶ οὔτε τῷ πατρὶ συντάττει οὔτε τῷ υἱῷ, ἀλλὰ τῷ μὲν πατρὶ ὑποτάττει διὰ τὴν αἰτίαν, τῷ δὲ υἱῷ διὰ τὴν ἐνέργειαν, καθ' ἣν γέγονε, συμπεριλαμβανομένων λέγων πρὸς τὴν τοῦ παντὸς λόγου συμπλήρωσιν καὶ τῶν ταῖς οὐ-
15 σίαις παρεπομένων ἐνεργειῶν καὶ τῶν ταύταις προσφυῶν ὀνομάτων.

Πάλιν δὲ αὖ ἑκάστης τούτων οὐσίας εἰλικρινῶς, φησίν, ἁπλῆς καὶ πάντῃ μιᾶς οὔσης τε καὶ νοουμένης κατὰ τὴν ἰδίαν ἀξίαν, συμπεριγραφομένων δέ, φησί, τοῖς ἔργοις τῶν
20 ἐνεργειῶν καὶ τῶν ἔργων ταῖς τῶν ἐργασαμένων ἐνεργείαις παραμετρουμένων ἀνάγκη δήπου πᾶσα καὶ τὰς ἑκάστῃ τῶν οὐσιῶν ἑπομένας ἐνεργείας ἐλάττους τε καὶ μείζους εἶναι καὶ τὰς μὲν πρώτην, τὰς δὲ δευτέραν ἐπέχειν τάξιν, συνόλως τε εἰπεῖν πρὸς τοσαύτην ἐξικνεῖσθαι διαφοράν, πρὸς ὁπόσην ἂν
25 ἐξικνῆται τὰ ἔργα· καὶ ὅσῳ τὰ ἔργα τῶν ἔργων πρεσβύτερα καὶ τιμιώτερα, τοσούτῳ, φησί, καὶ τὴν ἐνέργειαν τῆς ἐνεργείας ἀναβεβηκέναι φαίη ἄν τις εὐσεβῶς διανοούμενος, ἅτε δὴ τῶν αὐτῶν ἐνεργειῶν τὴν ταὐτότητα τῶν ἔργων ἀποτελουσῶν καὶ τῶν παρηλλαγμένων ἔργων παρηλλαγμένας τὰς
30 ἐργασίας ἐμφαινόντων.

Οὕτω δέ, φησί, τούτων ἐχόντων καὶ τῇ πρὸς ἄλληλα σχέσει τὸν εἱρμὸν ἀπαράβατον διατηρούντων προσήκει δήπου τοὺς κατὰ τὴν συμφυῆ τοῖς πράγμασι τάξιν τὴν ἐξέτασιν

7–39 fere ad verbum Eunom. ap. Greg. Nyss. Contra Eunom. PG 45,297 A–C (I 72, 1–73, 13 Jaeger)

9 fort. αὐτῆς scribendum ‖ 25 ὅσῳ Greg.: ὅσα O ‖ 26 τοσούτῳ Greg.: τοιούτω O ‖ 28 αὐτῶν Greg.: ταὐτῶν O | ἀποτελουσῶν Greg.: -οῦσιν O ‖ 31 προσάλληλα O ‖ 33 τὴν[1] Greg.: τὰ O

ποιουμένους καὶ μὴ φύρειν ὁμοῦ πάντα καὶ συγχεῖν βιαζομένους, εἰ μὲν περὶ ταῖς οὐσίαις κινοῖτό τις ἀμφισβήτησις, ἐκ 35
τῶν πρώτων καὶ προσεχῶν ταῖς οὐσίαις ἐνεργειῶν ποιεῖσθαι τῶν δεικνυμένων τὴν πίστιν καὶ τῶν ἀμφιβαλλομένων τὴν διάλυσιν, τὴν δὲ ἐπὶ ταῖς ἐνεργείαις ἀμφιβολίαν διαλύειν ἐκ τῶν οὐσιῶν.

Εἶτα δὴ πρὸς τὴν τοῦ θεοῦ ἐκκλησίαν ἀποτεινόμενος, πρὸ 40
τῶν ἄλλων ὑμεῖς, φησίν, ἔνοχοι τοῖς πλημμελήμασιν, οἱ τὴν αὐτὴν οὐσίαν τῷ γεννήσαντι καὶ τῷ γεννηθέντι διακληρώσαντες. ἤτοι γὰρ ἀνάρχως ἀλλήλων κεχωρίσθαι τὰς οὐσίας ταύτας ὑπολαμβάνοντες, τούτων δὲ τὴν ἑτέραν εἰς υἱοῦ τάξιν διὰ γεννήσεως ἄγοντες καὶ τὸν ἀνάρχως ὄντα ὑπὸ τοῦ ὄντος 45
γενέσθαι διατεινόμενοι, τοῖς οἰκείοις ὑπόκεισθε λοιδορήμασιν, ὃν ἀγέννητον εἶναι φαντάζεσθε, τούτῳ τὴν παρ' ἑτέρου γέννησιν ἐπιφημίζοντες· ἢ μίαν καὶ μόνην ἄναρχον ὁμολογοῦντες οὐσίαν, εἶτα ταύτην εἰς πατέρα καὶ υἱὸν τῇ γεννήσει περιγράφοντες αὐτὴν παρ' ἑαυτῆς γεγεννῆσθαι τὴν ἀγέννητον 50
οὐσίαν φήσετε.

Ἡμεῖς δέ, φησί, φαμὲν ὡς εἷς κατά τε φυσικὴν ἔννοιαν καὶ κατὰ τὴν τῶν πατέρων διδασκαλίαν ὡμολόγηται ἡμῖν θεός, μήτε παρ' ἑαυτοῦ μήτε παρ' ἑτέρου γενόμενος. ἀκόλουθον οὖν αὐτῷ τὸ ἀγέννητον, μᾶλλον δὲ αὐτό ἐστιν οὐσία ἀγέννη- 55
τος. ἀγέννητον δὲ λέγοντες οὐκ ὀνόματι μόνον ἀνθρωπίνῳ σεμνύνειν οἰόμεθα δεῖν, ἐκτιννύναι δὲ αὐτῷ τὸ πάντων ἀναγ-

40–43 ibid. 397B (I 164, 10–13 J.) ‖ **43–51** ibid. 397C (I 164, 17–27 J.) ‖ **52–54** Basil. Adv. Eunom. PG 29,513D (I 170, 15–17 Sesboüé) ‖ **54–56** ibid. 517B (I 176, 80–81 S.) ‖ **56–58** ibid. 520C (I 180, 124–127 S.)

35 κινοῖτό Greg.: κινεῖτό **O** ‖ **41** ὑμεῖς Greg.: ἡμεῖς **O** ‖ **45** ὑπὸ Greg.: ἐπὶ **O** ‖ **46** ὑπόκεισθε Greg.: -σθαι **O** ‖ **47** φαντάζεσθε Greg.: -σθαι **O** ‖ **48** ἐπιφημίζετε sec. Greg. maluit Pontikos ‖ **50** τὴν Greg.: τὸν **O** ‖ **51** φήσετε Greg.: φήσ(ε)ται **O** ‖ **52** εἷς **O** ‖ **53** πατέρων Basil.: παθῶν **O** ‖ **56** ἀγέννητον Basil.: -ος **O** ‖ **57** αὐτῷ Basil.: -ὸ **O**

καιότατον ὄφλημα, τὴν τοῦ εἶναι ὅ ἐστιν ὁμολογίαν. ἀλλὰ
μὴν οὐδὲ κατὰ στέρησιν, εἴ γε τῶν κατὰ φύσιν αἱ στερήσεις
60 εἰσὶ στερήσεις καὶ τῶν ἕξεων δεύτεραι. εἰ τοίνυν τὸ ἀγέννη-
τον μήτε κατ' ἐπίνοιαν μήτε κατὰ στέρησιν, αὐτὸ ἂν εἴη οὐ-
σία ἀγέννητος. ἀγέννητος δὲ ὢν οὐκ ἄν ποτε προσοῖτο γέννη-
σιν, ὥστε τῆς ἰδίας μεταδοῦναι τῷ γεννωμένῳ φύσεως, ἐκ-
φύγῃ τε ἂν πᾶσαν σύγκρισιν καὶ κοινωνίαν τὴν πρὸς τὸ γεν-
65 νητόν. οὐδὲ γὰρ ἂν εἴποιμεν, φησίν, ὡς κοινὴ μὲν ἀμφοῖν ἡ
οὐσία, τάξει ⟨δὲ⟩ καὶ τοῖς ἐκ χρόνου πρεσβείοις ὁ μέν ἐστι
πρῶτος, ὁ δὲ ὕστερος, ἐπειδή γε δεῖ προσεῖναι τοῖς ὑπερέ-
χουσι τὸ τῆς ὑπεροχῆς αἴτιον, οὐ συνέζευκται δὲ τῇ οὐσίᾳ
τοῦ θεοῦ οὐ χρόνος, οὐκ αἰών, οὐ τάξις.
70 Ἐπὶ τούτοις τὸ ἄρρητον ἐπάγει τῆς βλασφημίας, ὡς οὐδεὶς
οὕτως τῶν πάντων ἀνόητος καὶ πρὸς ἀσέβειαν τολμηρός,
ὥστε ἶσον εἰπεῖν τῷ πατρὶ τὸν υἱόν, αὐτοῦ τοῦ κυρίου διαρ-
ρήδην εἰπόντος, 'ὁ πατήρ μου μείζων μού ἐστι'.
Καὶ τὸν μὲν ἐπὶ πάντων οὕτω τεχνολογήσας θεὸν τοιαῦτα
75 καὶ περὶ τοῦ μονογενοῦς φθέγγεται· γέννημα τοίνυν φαμὲν
τὸν υἱὸν κατὰ τὴν τῶν γραφῶν διδασκαλίαν, οὐχ ἕτερον μέν
τι τὴν οὐσίαν νοοῦντες, ἕτερον δέ τι παρ' αὐτὴν τὸ σημαινό-
μενον, ἀλλ' αὐτὴν εἶναι τὴν ὑπόστασιν, ἣν σημαίνει τοὔνομα,
ἐπαληθευούσης τῇ οὐσίᾳ τῆς προσηγορίας. ἤτοι γὰρ ὄντα,
80 φησίν, ἐγέννησεν ὁ θεὸς τὸν υἱὸν ἢ οὐκ ὄντα. ἀλλ' εἰ μὲν οὐκ
ὄντα, μηδείς μοι τόλμαν ἐγκαλείτω· εἰ δὲ ὄντα, οὐκ ἀτοπίας
μόνον καὶ βλασφημίας, ἀλλὰ καὶ πάσης εὐηθείας ὑπερβολὴν

58–60 ibid. 532A (I 198, 4–5 S.) ‖ **60–62** ibid. 537A (I 208, 5; 8 S.) ‖ **62–65** ibid. 548C (I 228, 17–20 S.) ‖ **65–69** ibid. 553C (I 238, 10–14 S.) ‖ **70–73** ibid. 561A (I 250, 10–13 S.) ‖ **75–78** ibid. 584A (II 26, 25–29 S.) ‖ **79–83** ibid. 597B (II 52, 14–18 S.)

59 τῶν Basil.: τὴν **O** ‖ **60** εἰ] an ἡ ex εἰ **O**? ‖ **62** ὢν ex ὤν **O** | ἄμποτε **O** ‖ **66** δὲ Basil.: om. **O** ‖ **68** αἴτιο(ς) **O** ‖ **71** οὕτως Basil.: οὗτος **O** ‖ **75** μογεννοῦς **O** ‖ **76–77** μέν τι Basil.: μέντοι **O** ‖ **81** ἐγκαλεῖτο **O**

ὁ λόγος ἔχει, τῷ γὰρ ὄντι οὐ δεῖ γεννήσεως. διὰ τοῦτο δέ, φησί, μονογενής, ἐπειδὴ παρὰ μόνου γεννηθεὶς καὶ κτισθεὶς τελειότατος γέγονεν ὑπουργός. 85

Τοιαῦτα μὲν καὶ τούτων χείρονα ὁ λῆρος Εὐνόμιος. ἐγὼ δὲ πασῶν τῶν αἱρέσεων ἀτοπίαν καὶ φλυαρίαν καταψηφιζόμενος οὐκ ἔχω τινὶ τῶν πάντων ἀτόπῳ τὴν τοῦδε τοῦ ἀνδρὸς προσεικάσαι αἵρεσιν. οὔτε γὰρ ὡς ἐκ παρακουσμάτων τοῦ εὐαγγελίου εἰς τὴν κατὰ {τὴν} τῆς τριάδος ἐξερράγη βλασ- 90 φημίαν ὁ δείλαιος οὔτε ἀπὸ τῆς Ἑλληνικῆς σοφίας τοῖς ἡμετέροις παρεισεφθάρη δόγμασιν, ὥσπερ Ἄρειος πρότερον καὶ Νεστόριος ὕστερον. ποῦ γὰρ τῶν ἱερῶν λογίων παρήκουσεν ἀγεννησίαν τὸν πατέρα ὑπαινιττόντων ἢ γέννημα τὸν υἱόν; ποῦ δὲ παρὰ τῶν ἔξω σοφῶν ἐμεμαθήκει, ὡς ὑπὸ τὴν οὐσίαν 95 ἡ γέννησις καὶ ἡ ἀγεννησία καὶ ἐκεῖθεν αὐτοῖς ὡς ἀπὸ γένους τὸ ὄνομα; οὐκ ἔχει οὖν ἀφορμὴν οὐδεμίαν αὐτῷ ὑπάρξεως ὁ τῆς αἱρέσεως λόγος, ἀλλ' οἶμαι τὸν ἄνδρα ταὐτὸν πεπονθέναι τῷ Σταγειρίτῃ Ἀριστοτέλει. ἐκεῖνος γὰρ ἐπὶ πολλοῖς σοφοῖς τοῖς πρότερον τῷ βίῳ παραγενόμενος, καὶ μάλιστά γε 100 μετὰ τὴν Πλάτωνος ἀνθήσας φιλοσοφίαν, ἐπειδὴ πάντα ἐκεῖνον εὗρε διακριβώσαντα, καὶ τὰ μὲν αὐτὸν ἐξευρόντα, τὰ δὲ τοῖς προηγησαμένοις ἀκολουθήσαντα, οὐ τὴν αὐτὴν ὁδὸν τῷ διδασκάλῳ ἐτράπετο, ἵνα μὴ δόξῃ οὐκ ἀρχηγὸς εἶναι φιλοσοφίας καὶ εὑρετὴς τῶν γε πλειόνων, ἀλλ' οἷον τῶν Πλατωνι- 105 κῶν δογμάτων ἐξηγητής. διὰ ταῦτα τὰ μὲν μεταμείβει τῶν ἐκείνου, τῶν δ' ἐναντίας ἀφῆκε φωνάς. τοιοῦτον δέ φημι πεπονθέναι καὶ τὸν Εὐνόμιον· εὑρηκὼς γὰρ τοὺς πρὸ αὐτοῦ δυσσεβεῖς κατανειμαμένους ἑαυτοῖς τὴν σύμπασαν ὕλην τῆς ἀσεβείας, ἵνα μὴ ἐκεῖθεν δόξῃ τὸν τῆς ἀπιστίας πλουτεῖν 110

83–85 ibid. 613 A (cf. 617 A) (II 80, 4–6; cf. 84, 2–3 S.) ‖ **99–107** cf. Psell. Theol. I, opusc. 47,76–78

83 γενέσεως (e γεννέσεως) **O** ‖ **85** τελειότατος sec. Basil. scripsimus: τελειότ( )τος **O** ‖ **90** τὴν[2] del. Wk. ‖ **91** ἑλληνικοῖς **O** ‖ **93** γὰρ scr. Wk.: καὶ **O** ‖ **95** ἐμαμαθήκει **O** ‖ **107** φημι Wk.: φησι **O** ‖ **108** πρὸ] corr. ut vid. e πρὸ(ς) **O**

συρφετόν, καινόν τι εἶδος αἱρέσεως ἀνέπλασεν ἑαυτῷ, ὃ μηδὲ δεῖν φημι τῶν ἀνατρεπόντων, αὐτὸ γὰρ ὑφ' ἑαυτοῦ συγκέχυται καὶ ἀνατέτραπται.

15

Λύσις τοῦ θεολογικοῦ προβλήματος τοῦ φάσκοντος, 'ὁ χρόνος ἐν χρόνῳ ἢ οὐκ ἐν χρόνῳ;'

Οὐχ ὡς ἄπορον τὸ περὶ τοῦ χρόνου ζήτημα ὁ μέγας θεολόγος προὐβάλλετο, ἀλλ' ὡς δύσλυτον καὶ διελέγχειν δυνάμενον
5 τὰς διλημμάτους ἐρωτήσεις τοῦ ἀντιπίπτοντος. 'ὁ χρόνος' γάρ φησιν 'ἐν χρόνῳ ἢ οὐκ ἐν χρόνῳ;' εἶτα ἑκάστην φάσιν ἀναιρεῖ τῷ ἀπαντῶντι ἀτόπῳ διαλεκτικῶς ἑκατέραν διελέγχων ἀπόκρισιν. 'εἰ μὲν γὰρ ἐν χρόνῳ, τίνι τούτῳ' φησὶ 'καὶ τί παρὰ τοῦτον ὄντι; εἰ δὲ οὐκ ἐν χρόνῳ, τίς ἡ περιττὴ σοφία,
10 χρόνον εἰσάγειν ἄχρονον;'

Οὔτε γὰρ ἡ ἐρώτησις ἄτοπος οὔτε ἡ ἀπάντησις ἄπορος. οὐ γὰρ εἰ καὶ μὴ ἐν χρόνῳ γίνεται ὁ χρόνος, ἀνάγκη διὰ τοῦτο ἄναρχον εἶναι τὸν χρόνον. ὁ γὰρ πᾶς χρόνος (περὶ τούτου γὰρ καὶ ἡ ἐρώτησις) ἀχρόνως μὲν τοῦ εἶναι ἤρξατο, δι' αὐτὸ
15 δὲ τὸ ἄρξασθαι οὐκ ἔστιν ἀίδιος. οὐ γάρ, ὥσπερ ἐπὶ τῶν μερικῶν τοῦ χρόνου ἀρχῶν χρόνος ἐστὶν ἐφ' ἑκάτερα, οὕτω δὴ καὶ ἐπὶ τῆς πρώτης τοῦ παντὸς χρόνου ἀρχῆς χρόνος ἦν προγενέστερος· καὶ οὐκ ἐπειδὴ τοῦ χρόνου ἐστὶ γένεσις ἢ μὴ ἐν χρόνῳ τοῦ εἶναι ὁ χρόνος ἤρξατο, ἄναρχον αὐτὸν ⟨καὶ⟩ ἀί-
20 διον ἀνάγκη εἶναι. οὐδεμία γὰρ ἀρχὴ ἐν χρόνῳ ἐστίν, ἀλλ'

tit. Greg. Naz. Or. 29,9 (ll. 19–20 Gallay) || **8–10** ibid. ll. 20–23 || **11–13** cf. Theol. I, opusc. 53,67–68

15 O 441r || ed. Pontikos *Anonymi* 108–109 || **3** ἄπορον scr. Wk. (cf. 11; 47; Theol. I, opusc. 53,8–9): ἄπειρον **O** || **4** leg. προὐβάλετο? || **9** τοῦτον Greg.: τούτων **O** || **17** ἐπὶ Wk.: πε(ρὶ) **O** || **19** καὶ add. Wk.

ἄχρονός ἐστιν ἀρχὴ πᾶσα. τῶν μὲν γὰρ μερικῶν καὶ ἀρχὴν τοῦ εἶναι ἐχόντων ἕκαστον πάντως ἔχει προϋφεστηκότα τὸν χρόνον τῆς ἰδίας ὑπάρξεως, οὐ μὴν δὲ καὶ τὸν ὅλον ἀνάγκη χρόνον ἢ καὶ τὸν ὅλον κόσμον, μὴ ἀεὶ ὄντα, ἀλλ' ἀρχὴν τοῦ εἶναι ἔχοντα, χρόνον ἔχειν προϋποκείμενον τῆς αὐτοῦ ὑπάρ- 25 ξεως. οὐ γὰρ ὅπερ τοῖς μέρεσιν ἕπεται, τοῦτο καὶ τῷ ὅλῳ ἀνάγκη ἀκολουθεῖν· τοῦ μὲν γὰρ μερικοῦ χρόνου ἕτερος προϋφέστηκε χρόνος, τοῦ δὲ ὅλου χρόνου πῶς ἄν τις χρόνος προϋφεστήκοι;

Ἄτοπον δέ μοι καὶ τὸ περὶ τῆς ὑποστάσεως τοῦ χρόνου δο- 30 κεῖ ἐπιχείρημα. τὸ γὰρ ζητεῖν αὐτὸν καθ' αὐτὸν τὸν χρόνον, εἴτε γέγονεν εἴτε καὶ μή, οὐ διαλεκτικῆς ἀκριβείας ἐστίν· οὐ γὰρ ἰδίαν ἔχει καθ' αὑτὸν ὑπόστασιν ὁ χρόνος, ἀλλὰ τῷ κόσμῳ καὶ τῇ τοῦ παντὸς κινήσει συνυφέστηκε. 'χρόνος' γάρ φησι Πλάτων 'μετ' οὐρανοῦ γέγονεν', ἵν' ἅμα γινόμενοι ἅμα 35 καὶ λυθῶσι. περὶ γὰρ τῶν ἐν ἄλλοις ὑφεστηκότων καὶ μὴ ἐχόντων ἰδίαν ὕπαρξιν πῶς ἄν τις ἐρωτῴη ὡς αὐθυποστάτων καὶ ἑτέροις ὑποκειμένων; κίνησις μὲν γὰρ ἐν σώματι, χρόνος δὲ μέτρον κινήσεως· πῶς οὖν εὔλογον ζητεῖν περὶ αὐτῶν καθ' αὑτά, εἴτε ἀίδιά ἐστιν εἴτε γέγονε τὰ μὴ καθ' αὑτὰ ὅλως 40 ὑποστῆναι δυνάμενα; εἰ τοίνυν πᾶσα ἀρχὴ ἀχρόνως ὑφίσταται, κἂν γενέσεως εἴπῃς, κἂν κινήσεως, κἄν τινος ἄλλου, οὐ μήν ἐστιν ἄχρονος, οὕτως οὐδ' εἰ ὁ χρόνος ἀχρόνως ἢ γέγονεν ἢ τοῦ εἶναι ἤρξατο, διὰ τοῦτο καὶ ἀίδιος ἔσται· ἀλλ' εἰ ὅλως ἤρξατο τοῦ εἶναι, ἦν ὅτε οὐκ ἦν ἐξ ἀνάγκης. 45

Τοιαύτη μὲν ἡ τοῦ τοιούτου προβλήματος λύσις, τῷ δὲ θεολόγῳ προεβλήθη οὐχ ὡς μὴ λυθῆναι δυνάμενον, ἀλλ' ὡς οὐκ ἔχον ῥᾳδίαν τὴν ἐπιχείρησιν.

34–35 Plat. Tim. 38b6 ‖ **38–39** cf. Theol. I, opusc. 53,97–98

16

Τοῦ Ψελλοῦ εἰς τὸ 'γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί'

Μία καὶ αὕτη τῶν παρὰ τοῦ θείου λόγου πρὸς τοὺς μαθη-
τὰς παραινέσεων, τὸ δεῖν σπεύδειν τὸ φρόνημα μὲν μιμεῖσθαι
5 τῶν ὄφεων, τῶν δὲ περιστερῶν τὸ ἀκέραιον. πάντων γὰρ μά-
λιστα τῶν ζῴων μιμητικώτερον πέφυκεν ὁ ἄνθρωπος· ἡ δὲ μί-
μησις αὕτη ὕλη τούτῳ καὶ ποιήσεως καὶ τραγῳδίας καὶ σατυ-
ρισμοῦ γέγονεν, ὡς καὶ Διονυσίῳ δοκεῖ τῷ Ἁλικαρνασσεῖ. τῶν
δὲ παρὰ τοῦτον ζῴων τὰ μὲν μιμεῖσθαι πέφυκε, τὰ δ' οὔ· καὶ
10 τῶν μιμουμένων τὰ μὲν ἐκ φύσεως ἔσχε τὴν μίμησιν, ὡς ὁ
ἀράχνης καὶ ὁ μύρμηξ καὶ ἡ μέλιττα, τὰ δὲ διὰ μαθήσεως
ταύτην ἔσχηκεν, ὡς ἄρκτοι καὶ πίθηκοι καὶ ἐλέφαντες. τῶν
δὲ μιμουμένων τὸ πλῆθος πολύ. ὁ δὲ ἄνθρωπος μέσον τῶν
χειρόνων καὶ τῶν κρειττόνων ὢν διὰ τῆς ἐναρμονίου ταύτης
15 μεσότητος καὶ τῆς ἀμφιδεξίου φύσεως ἑκάτερα κατὰ τὸν οἰ-
κεῖον λόγον μιμεῖσθαι πέφυκε, τὰ μὲν κατὰ τὰς νοερὰς ἀνε-
λίξεις, τὰ δὲ κατὰ τὰς φωνὰς καὶ τὰ σχήματα· μιμεῖται δὲ
καὶ τὰς ἐν τοῖς ζῴοις ἰδιότητας διὰ τῆς τῶν ἠθῶν παιδαγω-
γίας.
20 Αἱ δὲ ἰδιότητες αὗται τοῖς μὲν ἀλόγοις φύσεις εἰσίν, ἡμῖν
δὲ ζηλούμεναι πάθη γίνεται ἢ ἐπαινούμενα ἢ μισούμενα. μὴ
γάρ μοί τις ἀποπροσποιείτω τὸ τοῦ πάθους ὄνομα φιλόσοφος
ὤν· κατὰ τῶν κρειττόνων γὰρ καὶ τῶν χειρόνων ὁμωνύμως
κατηγορεῖται. διὰ ταῦτα τοίνυν τὸ μὲν δολερὸν φύσις καὶ

1–2 Matth. 10,16 ‖ 6–8 loc. non invenimus

16 c 3r–v (1–140) s 250v–252v ‖ ined. ‖ **1–2** Τοῦ αὐτ(οῦ) εἰς τὸ εὐαγ-
γελικὸν ῥητόν, γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις **s** ‖ **4** δεῖν **c**: δὴ **s** | μὲν
τὸ φρόνημα trp. **c** ‖ **6** ὁ om. **s** ‖ **9** περὶ τούτων **s** ‖ **12** ταύτην ἔσχηκεν
om. **s** ‖ **14** κρειττόνων … χειρόνων trp. **s** ‖ **20** ἄλλοις **s** | φύσις ut vid.
s ‖ **21** μισούμενα ἢ ἐπαινούμενα trp. **s** ‖ **22** ἀπροσποιείτω **c** ‖ **23** τῶν
om. bis **s**

ἰδιότης πέφυκε τῇ ἀλώπεκι, ἐμοὶ δὲ ζηλωθὲν πάθος καθίσταται, καὶ τὸ ἠλίθιον αἰπολίῳ μὲν κατὰ φύσιν ἐστίν, ἐμοὶ δὲ κατὰ πάθος ἐγγίνεται. οὕτως δὲ ἔχει καὶ τὰ σπουδαζόμενα· τό τε γὰρ μεγαλοπρεπὲς παρὰ μὲν τῷ λέοντι ἔμφυτόν ἐστι καὶ ἀδίδακτον, παρ' ἐμοὶ δὲ σπουδαζόμενον διὰ τῆς κατὰ τὴν μίμησιν παθητικῆς ποιότητος εὐφημίαν μοι χορηγεῖ, τό τε τοῦ ὄφεως ποικίλον τε καὶ κακότεχνον ἐμοὶ διὰ ζήλου κατορθωθὲν εἰς φρονήματος ἰδέαν μεθίσταται. καὶ τῆς μὲν περιστερᾶς οὐκ ἐπαινοῦμεν τὸ ἄκακον καὶ ἀπάνουργον, τῷ γὰρ τοιούτῳ εἴδει τῆς ζωῆς ἡ φύσις ταύτην ᾠκείωσεν· εἰ δὲ παρ' ἐμοὶ γένοιτο, ἅπας ἂν ἐπαινέσειε. τῷ δὲ ὄφει καὶ ἡ θεία προσμαρτυρεῖ γραφὴ τὴν τοιαύτην ὀξύτητα· 'ἦν' γάρ φησιν 'ὁ ὄφις φρονιμώτατος πάντων τῶν θηρίων.' διὰ τοῦτο καὶ ὀργάνῳ τούτῳ ὁ πονηρὸς κατὰ τοῦ ἀνθρώπου ἐχρήσατο, ἵνα τῷ φρονίμῳ ἕλῃ τὸν φρονιμώτατον.

Ὅπως μὲν οὖν τὰ τοιαῦτα τῶν ἠθῶν εἴδη ἡμῖν τε καὶ τοῖς ἀλόγοις διακρίνεται, ὁ λόγος κεφαλαιωσάμενος εἴρηκε. σκεψώμεθα δὲ ὁποῖόν ἐστι καὶ τῷ ὄφει τὸ φρόνημα, τίς δὲ καὶ ἡ ἐν τῇ περιστερᾷ ἀκεραιότης, ἵνα μὴ μιμεῖσθαι σπουδάσαντες τὰς παρὰ τῶν ζῴων τούτων τῇ φύσει ἰδιότητας μετὰ τοῦ κρείττονος συναναμαξώμεθα καὶ τὰ χείρονα. οὔτε γὰρ ἅπαν τὸ φρόνημα τοῦ ὄφεως ἐπαινέσομεν οὔτε πᾶσαν τὴν τῆς περιστερᾶς ἀκεραιότητα, ἀλλὰ τῷ λόγῳ ταῦτα διελόμενοι εὐκρινέστερον διασαφήσομεν τήν τε διφυᾶ τοῦ ὄφεως φρόνησιν καὶ τὴν τῆς περιστερᾶς ἐξ ἀνομοίων ἀκεραιότητα. ὁ ὄφις διαμάχεται πρὸς τὸν ἄνθρωπον, εἴθ' ὅτι κατ' ἀρχὰς τὸν πρὸς ἡμᾶς ἀνελόμενος πόλεμον κἀντεῦθεν κατακριθεὶς τὴν ἐπὶ τῷ

25 30 35 40 45 50

36–37 Gen. 3,1

26 ἠλίθιον αἰπολίωι μὲν c: θυμοειδὲς τῷ λέοντι s ‖ **30** τὴν om. s ‖ **31** τε c: καὶ δολερὸν s ‖ **32** καθίσταται s ‖ **33** ἄκακον c: ἀκέραιον s ‖ **37** τοῦτο s: ταῦτα c ‖ **39** ἕλοι s ‖ **40** παρ' ἡμῖν s ‖ **41** κρίνεται s ‖ **42** δὲ^2 s: om. c ‖ **44** τῇ φύσει] ante τῶν ζῴων trp. c ‖ **46** ἐπαινέσομεν τοῦ ὄφεως ante corr. c ‖ **48** διφυῆ s

στήθει καὶ τῇ κοιλίᾳ πορείαν, μνησικακῶν ἐφ' οἷς πέπονθε
πτερνίζειν ἡμᾶς ἐπείγεται, εἴτε φύσις αὐτῷ καὶ τοῦτό ἐστιν,
ὥσπερ καί τισιν ἄλλοις τῶν ζῴων, ὑπούλως καὶ κακοήθως
55 πρὸς ἡμᾶς διαφέρεσθαι. ἀλλ' ἐπεὶ τέως πρὸς τὸν ἄνθρωπον
μάχεται κἀκεῖνον ἀντιμαχόμενον ἐξεπίσταται, τὰ μὲν ὅπως
δράσῃ διαμηχανᾶται, τὰ δὲ ὅπως ἂν ἐκφύγῃ αὐτοδιδάκτῳ τῇ
φύσει χρώμενος πειρᾶται. βλάψαι μὲν οὖν ἐθέλων, ἑαυτὸν ἐν
τῷ λεληθότι περιελίξας, εἶτα δὴ τὴν κεφαλὴν ἐπάρας μικρόν,
60 πρὸς τὴν τοῦ πνεύματος φορὰν ἐκχεῖ τὸν ἰόν, ἵν' ὅτι μάλιστα
τύχῃ διὰ τοῦ ἀέρος τῷ ἀνθρώπῳ προσενεχθείς· κατάφωρος
δὲ γινόμενος καὶ συμπατούμενος ἢ τοῖς λίθοις βαλλόμενος τὸ
μὲν ἄλλο σῶμα προβάλλεται, τὴν δὲ κεφαλὴν κατὰ τὴν γῆν,
εἴ πῃ δύναιτο, καταχώννυσιν.
65 Ἄμφω μὲν οὖν φρόνιμα τῇ φύσει καθέστηκεν, ἀλλ' οὐχ
ὁμοίως ἡμῖν ζηλωτά. διὰ ταῦτα ὃ μὲν πρὸς βλάβην ἑτέρου
ἐπιτηδεύει, τῶν ἡμετέρων ψυχῶν ἀπωσώμεθα, ὃ δὲ ὅπως ἂν
{εἴποις} μὴ βλαβείη προσμηχανᾶται ὡς οἷόν τε μιμησώμεθα,
εἴτε τὴν ἐπὶ τοῦ σώματος κεφαλὴν κρύπτοντες βαλλόμενοι
70 καὶ ἀποκτεννόμενοι, εἴτε τὴν ἁπάντων κεφαλὴν τὸν Χριστόν,
δι' οὗ δὴ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, ἐν τοῖς κατ' αὐτὸν
δόγμασι φυλάττοντες ὑγιᾶ καὶ μὴ ἑτοιμότρωτον ποιοῦντες
τοῖς ἀπὸ τῶν αἱρέσεων βέλεσιν. ἑτέρῳ δὲ μὴ ἐκχέωμεν τὸν
ἰόν, μηδέ τινα κακοήθεσιν ὁμιλίαις διαλωβησώμεθα, ἀλλ' ὡς
75 οἷόν τε καὶ τὸν οὕτως ἡμῖν προσομιλεῖν ἐθέλοντα ἐκτρεπώ-
μεθα, μιμούμενοι κἀν τούτῳ τὴν σμύραιναν. αὕτη δ' ἰχθῦς

70 cf. Eph. 4,15 || **71** Acta 17,28 || **76–93** cf. Aelian. Nat. anim. I 50 et IX 66

53 ἐπείγεται] ἐπεγείρεται sscr. pr. m. **c** || **55** ἐπεὶ **s**: evan. **c** || **57** δράσειν **s** || **58** θέλων **s** || **59** ἐπάρας **c**: ἀνατείνας **s** || **60** ὅτι **s**: ὅταν vel ὅτε **c** || **61** κατάφορος **s** || **62** συμπατώμενος **s** || **63** προβάλληται **c** | κατὰ τὴν γῆν **c**: om. **s** || **64** εἴ **c**: ἤ **s** || **67** ἀπώσωμεν **c** | ὃ – **68** μιμησώμεθα om. **s** || **68** εἴποις seclusimus || **70** ἀποκτεννούμενοι **c** | εἴτε **s**: ἢ **c** || **73** μὴ **s**: ἵνα μὴ **c** || **73–74** ἰὸν μὴ ἐκχέωμεν (om. τὸν) **s** || **76** μύραιναν **s**

μέν ἐστι καὶ τῷ τῆς θαλάττης ἐπισύρεται σώματι, οὐδὲν δὲ ἧττον καὶ χερσαῖον ζῷόν ἐστιν. ὁλκαῖς δὲ φυσικαῖς ἐπ' αὐτὴν ὁ ὄφις οἰστρεῖ καὶ μοιχός ἐστιν ἀτεχνῶς, τοὺς ὅρους ὑπερβαίνων τῆς φύσεως καὶ συγχέων νηκτῶν καὶ ἑρπετῶν ἰδιότητας. 80
ἐπειδὰν οὖν αὐτὸν ἀνοιστρήσῃ ἡ φύσις, θέρους μάλιστα, ἐπὶ τὸν αἰγιαλὸν παραγινόμενος ὥσπερ τινὶ παραλόγῳ συνθήματι συρίττεται λίαν ὀξύτατα, καὶ ἡ σμύραινα τῆς μοιχείας γνοῦσα τὸ σύμβολον ἄνεισι μὲν πρὸς τὴν τοῦ ὕδατος ἐπιφάνειαν καὶ δείκνυσιν ἑαυτὴν τῷ ὄφει οὐχ ἧττον ἢ τῷ Κύκλωπι 85
ἡ Γαλατεία. οὐκ εὐθὺς δὲ πρὸς τὸν ὄφιν ἔρχεται διανηξαμένη, ἀλλ' ἀναβάλλεται τὴν συνάφειαν, οὐκ ἀκκιζομένη ἢ θρυπτομένη, ἵνα μᾶλλον τὸν ἐραστὴν ἐρεθίσειεν, ἀλλὰ τὸν ἐπὶ τοῦ στόματος φοβουμένη ἰόν, ἵνα μὴ εὐθὺς ἀποκτανθῇ προσψαύσασα. τοῦτο γοῦν ὁ ὄφις τῇ ἀναβολῇ τεκμηράμενος 90
πρὸς κοίλῃ τινὶ πέτρᾳ τὸν ἰὸν ἐμεῖ, εἶτ' αὖθις προσκαλεῖται τὴν ἐρωμένην, καὶ οὕτως δὴ ἀλλήλοις συμπλέκονταί τε καὶ ἐπιθόρνυνται. φρόνιμος τοίνυν κατὰ τοῦτο καὶ ἡ σμύραινα πέφυκε, καὶ δεῖ τὸ ἀσφαλὲς ταύτης ζηλοῦν καὶ κακοήθεσιν ἀνδράσι μὴ ὁμιλεῖν ἄλλως, πρὶν ἂν ἀπόθωνται τὴν κακοή- 95
θειαν.

Ἀλλ' ἐπὶ τὸν ὄφιν ὁ λόγος ἐπαναγέσθω, ὃς δὴ καὶ γηράσας ἐξ ἐπιτεχνήσεως αὖθις νεάζει. γηράσκει δὲ μάλιστα τὴν ἔξω περιβολήν· ἀλλ' ὥσπερ ἡμῖν ταῖς ἀπὸ τῶν τραυμάτων σεσηπυίαις σαρξὶ σάρκες ἐπιφύονται ἕτεραι, οὕτω δὴ κἀκείνῳ φο- 100
λὶς ὑπὸ φολίδι ποικίλλεται καὶ δέρμα ἀντὶ δέρματος ἐπεγείρεται, ἔνθεν αὐτῷ καὶ δύσφορτος καὶ ἐπαχθὴς ἡ δορά, ὥσπερ δὴ καὶ ταῖς θηλείαις τῶν λαγωῶν κυούσαις. κἀκείνων

85–86 cf. Theocr. Idyll. 11; Nonn. Dion. 6, 301 sqq.; 39, 257 sqq.

82 παραγενόμενος **s** | παρανόμω **c** ‖ **83** μύραινα **s** ‖ **84** τὸν σύμβουλον, -ου- ex -ο-, **s** | πρὸς **c**: παρὰ **s** ‖ **86** δὲ om. **s** ‖ **87** ἀλλ' – **88** θρυπτομένη om. **s** ‖ **89** τοῦ om. **c** | στόμ( )τ( ) **c** | ἀποκτανθείη **s** ‖ **90** οὖν **s** ‖ **91** ἐμεῖ τὸν ἰὸν trp. **s** ‖ **93** ἐπιθορνύονται **c** | μύραινα **s** ‖ **99** τῶν om. **s** ‖ **100** ἐπιφύονται **c**: ὑποτρέφονται **c** ‖ **101** φολίδι **c**: -ος **s** ‖ **102** δυσφόρητος **s** ‖ **103** καὶ om. **s**

γὰρ ταῖς μητράσι τὰ μὲν διαμεμόρφωται τῶν ἐμβρύων, τὰ δὲ
105 ἄρτι ὑποτυποῦται, τοῖς δὲ πρώτως ἡ γονὴ πήγνυται. ἐπεὶ οὖν
ἐπαχθῶς ἔχει ἕρπων ἐν τῇ γῇ καὶ συρόμενος, τρήματί τινι
ἑαυτὸν ἐμβαλὼν καὶ τὴν κεφαλὴν παραμείψας, ὡς οἷόν τε
ὅλῃ τῇ φύσει ἀντερείδων χωρεῖ πρὸς τὸ κατ' εὐθύ, ἔνθεν τοι
ἡ γηράσασα λεβηρὶς εὐθὺς τῆς κεφαλῆς ἀπορραγεῖσα τοῦ
110 παντὸς ἀπεκδύεται σώματος, καὶ ὁ πρὸ βραχέος γηράσκων
καὶ σύρεσθαι μὴ δυνάμενος εὐσθενὴς ἀθρόον καὶ νεάζων εὑ-
ρίσκεται. φρόνιμος οὖν ἐν τούτῳ ὁ ὄφις καὶ ἡμῖν εἰς μίμησιν
παρὰ τοῦ λόγου προκείμενος, οἷς δὴ ὁ μὲν παλαιὸς ἄνθρω-
πος ἀπὸ τοῦ πρωτοπλάστου Ἀδὰμ ὥσπερ τις ἐπαχθὴς περι-
115 βολὴ ἐπίκειται τῇ ψυχῇ, ὁ δὲ νέος καὶ κατὰ πνεῦμα σφριγῶν
καὶ ἡβῶν ἀπὸ τοῦ νέου Ἀδὰμ ὑπανθεῖ. πῶς οὖν ἐκεῖνον μὲν
ἀποξύσαιμεν, τοῦτον δὲ μόνον ἐνδεδυμένοι φαινοίμεθα; εἰ
ἐπιδιείραντες ἑαυτοὺς τῷ στενῷ κατὰ θεὸν βίῳ καὶ σκληρῷ
ἀσκητικῶς προϊέναι ἑλοίμεθα, καὶ οὕτως εἰς τὸ τέλος τῆς
120 τοιαύτης ζωῆς φθάσαντες νεαροὶ καὶ θάλλοντες εὑρεθείημεν.

Ὁρᾷς ὅπως ζηλοῦντες τὸν ὄφιν φρόνιμοι κατὰ τὸν τοῦ κυ-
ρίου λόγον γινόμεθα; οὗτος δὲ καὶ τὸ σῶμα τμηθεὶς αὖθις
συγκολλᾷ καὶ συμφύει τὰ τμήματα καὶ πάλιν ἐξ ἡμιτόμου εἰς
ὁλοκληρίαν ἀποκαθίσταται. καὶ ἡμεῖς οὖν, εἴ ποτε διάστασις
125 τῶν ἐν ἡμῖν πνευματικῶν μελῶν γένηται, αὖθις συνερχοίμεθά
τε καὶ συναπτοίμεθα καὶ τὸν ἀμέριστον τοῦ θεοῦ χιτῶνα ἄτ-
μητον διασῴζοιμεν.

Μὴ δάκνωμεν δὲ πτέρναν ἐφ' ὁδοῦ μηδὲ πλήττωμεν τὸν
πλησίον μηδ' ἐπιβούλως τοῖς προσφοιτῶσιν ἡμῖν ὁμιλῶμεν, τὸ
130 τῆς περιστερᾶς ζηλοῦντες ἀκέραιον. αὕτη γὰρ τῶν ἄλλων
μάλιστα ζῴων ὁμαλώτατόν ἐστι καὶ εὔκολον κατὰ τὴν οἰ-

128 Gen. 49,1

105 ἄρτια **s** | ὑποτοποῦται **s** ‖ **106** ἔχει om. **s** ‖ **112** ἐν **c**: κἀν **s** ‖ **113** δὴ **c**: γὰρ **s** ‖ **115** πνεῦμα **c**: πάντ(α) **s** ‖ **117** φανοίμεθα **s** | εἰ om. **s** ‖ **118** ἐπιδιήραντες **s** | καὶ σκληρῷ βίῳ trp. **s** ‖ **123** ἐξ ἡμισείας **s** ‖ **125** πνευματικῶν om. **s** ‖ **128** πλήττομεν **s**

κείαν ζωήν. ἡ μὲν γὰρ τίγρις τὸ ζῷον, εἴ τις αὐτῆς ἁρπάσει τὰ νεογνά, μέχρι παντὸς ἐπικαταδιώκουσα φαίνεται· καὶ εὑροῦσα μὲν τὸν ἑαυτῆς θυμὸν ἐμπιπλᾷ, μὴ τυχοῦσα δὲ πανταχόσε περιπεπλάνηται. ὅθεν οἱ τοῦ θηρίου τὴν ὁρμὴν ἀνα- 135 στέλλοντες ἓν τῶν νεογνῶν διαφανεῖ ἀγγείῳ ἐναποκλείσαντες ὀπίσω αὐτῶν ἐῶσιν· ἡ δὲ περιτυχοῦσα καὶ τὸ εἶδος τοῦ τόκου γνωρίσασα ἐν τούτῳ ἑαυτὴν ἀπασχολεῖ, εἶτα δράττεσθαι τούτου μὴ δυναμένη τῷ τοῦ ἄγγους διατειχίσματι, ἐμφιλοχωρεῖ τῷ εὑρέματι ποικίλως τοῦτο παρακατέχουσα, κἀντεῦθεν 140 ὁ τὴν λοιπὴν γονὴν ἀφελόμενος ἑαυτὸν ὡς πορρωτάτω ποιεῖ. ἀλλ' ἡ περιστερὰ τοὺς νεοττοὺς αὐτῆς ἀποβαλοῦσα δοκεῖ μὲν ἀπρὶξ τούτων ἔχεσθαι, ἀφαιρουμένη δὲ ταῦτα οὐδὲν μᾶλλον ἀσχάλλει ἢ εἰ μή τις αὐτὴν ἐπηρεάζων ἐτύγχανε. καὶ ἡμεῖς τοιγαροῦν ἑτοίμως καὶ τέκνα καὶ πᾶν εἴ τι ἄλλο οἰκειό- 145 τατον πέφυκεν ὑπὲρ τοῦ θεοῦ προώμεθα, εἴ τις ταῦτα ἁρπάζειν πειρᾶται. ὁρᾷς τὴν τῶν Μακκαβαίων μητέρα, ὅπως καὶ προεδίδου τοὺς παῖδας καὶ ἀπαγομένων οὐκ ἐδυσχέρανεν, ἀλλὰ καὶ πρὸς τοὺς ἀθλητικοὺς ἀγῶνας ὑπήλειφε, τελευταῖον δὲ ἑαυτὴν ἐπέδωκε τῇ πυρᾷ καὶ συναπέπτη τοῖς νεοτ- 150 τοῖς πρὸς τὸν οὐρανόν; ἐκείνη καὶ φρόνιμος ἦν ὡς ὄφις ἐν τοῖς μαρτυρικοῖς ἀγωνίσμασι, τὴν ἑαυτῆς κεφαλὴν τὸν Χριστὸν τηρήσασα ὑγιᾶ, καὶ ἀκέραιος ὡς ἡ περιστερά, τῶν παίδων ἀφαιρουμένων μὴ δυσχεραίνουσα.

Γίνεσθε οὖν καὶ ὑμεῖς φρόνιμοι ὡς ὄφεις, σπουδαῖοι καὶ 155 ἀγχίνοι εἰς τὰ μαθήματα, κἂν ταῖς λογικαῖς μάλιστα ἐπιστήμαις τὰς προτάσεις ὡσπερεὶ κεφαλὰς διατηροῦντες ὑγιεῖς, ἵνα ἐκεῖθεν ὑμῖν τὸ ἀσυμφανὲς τοῦ συμπεράσματος γνωρισθείη, κἀπὶ τῶν φυσικῶν τὸ εἶδος καὶ τὴν ὕλην ἐπανευρίσκοντες, ὡς ἂν καὶ ἐπὶ τῶν θεολογικῶν τὴν πρώτην ἑνάδα καὶ ἐπὶ 160 τῶν μαθηματικῶν τὰς πρώτας συντηροῦντες ἀρχάς· ἀλλὰ καὶ ἀκέραιοι ὡς αἱ περιστεραί, μὴ πρὸς τὴν κατ' ἀλλήλων

147 2 Macc. 7,1–41

133 post φαίνεται def. **c** || **135** scr. οἱ ⟨θηραταὶ⟩?

κακεντρέχειαν ἀποβλέποντες μηδὲ ἔριδι καὶ θυμῷ ἅτερος τὸν ἕτερον διαμείβοντες, ἀλλὰ κἄν τις τοῖς ἑτέρων γεννήμασιν
165 ἀποχρήσαιτο καὶ τοῖς οἰκείοις συνθήσαιτο ταῦτα συγγράμμασι, μὴ δυσχεραινέτω ὁ κεκλεμμένος, ἀλλὰ σπενδέσθω τῷ κεκλοφότι, μᾶλλον δὲ μὴ προσποιείσθω ἐπίστασθαι τὴν ἀφαίρεσιν.

17

Τοῦ Ψελλοῦ εἰς τὸ 'προσεύχεσθε, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν ἐν χειμῶνι'

Δύο μοι δοκ[εῖ] προκαταγγέλλειν ὁ κύριος ἐν ταῖς προρρήσεσι ταύταις, ἐν αἷς εὔχεσθαι τοῖς ἀκούουσιν ἐγγυᾶται (Ἰου-
5 δαϊκὸν δὲ τὸ ἀκροατήριον ἦν) μὴ γενέσθαι τὴν φυγὴν αὐτῶν ἐν χειμῶνι ἢ ἐν σαββάτῳ. καὶ ἡ ἐπὶ τούτοις δὲ κατὰ τὴν λέξιν οἰμωγὴ τὴν αὐτήν μοι διπλόην ἔχειν ἐμφαίνεται· 'οὐαὶ' γὰρ δὴ 'ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις.' καὶ ἡ παραίνεσις δὲ πρὸς τὸν φεύγοντα μέν, ἐπιλαθόμενον δὲ
10 τοῦ ἱματίου, ὥστε ⟨μὴ⟩ διεστράφθαι ἐπὶ τῷ λαβεῖν τοῦτο τὴν αὐτήν μοι δίδωσιν ἔννοιαν. γέγονε γὰρ ἄμφω, μᾶλλον δὲ τὸ μὲν γέγονε, τὸ δὲ γενήσεται.

Τούτων ἡ μέν τις τῶν προρρήσεων πρὸς τὴν Ἰουδαίων πληθὺν ἀφορᾷ, ἥτις δὴ καὶ πεπέρανται, ἡ δὲ πρὸς τὴν ὅλην
15 τῶν ἀνθρώπων φύσιν, ἥτις ἀφωρισμέναις ἐτῶν περιόδοις παρὰ τῷ θεῷ τεταμίευται. ὅ τι δὲ ταῦτά ἐστι, νῦν μὲν ἐν τύπῳ λέγομεν καὶ οἷον σκιαγραφίαν διδόαμεν, προϊόντες δὲ σαφέστερον ἐροῦμεν καὶ τὰ καθήκοντα χρώματα προσεπιβαλοῦμεν τῷ λόγῳ.

1–2 Matth. 24,20 ‖ **7–8** ibid. 19 ‖ **9–10** ibid. 18

166 κεκλημμένος **s**: corr. Wk.
17 c 129r–131r ‖ ined. ‖ **10** μὴ add. Wk. | scr. ἐπεστράφθαι? ‖ **14** πεπέραται **c**: corr. Wk. ‖ **15** ἀφωρισμένοις **c**: corr. Wk.

Ἀρχὴ δὲ τῆς ἐξηγήσεως ἥδε. ὁ ἐκ περιτομῆς λαὸς πολλά- 20
κις πρὸς τὸν τῶν ὅλων πεπαρῴνήκασι θεόν, ἢ θυσιῶν ἀμε-
λοῦντες ἢ νόμους παραβαίνοντες ἢ εἰδώλοις προσανέχοντες,
νῦν μὲν τῷ καλουμένῳ Ὄντι καὶ αὖθις τῇ Ἀστάρτῃ καὶ πάλιν
τῷ Δαγὼν καὶ τοιούτοις ἄλλοις τισὶ καιροὺς κατ' ἄλλους.
ἐπειδὴ γὰρ κύκλῳ συμπαρῴκουν αὐτοῖς Μαδιηναῖοι καὶ 25
Μωαβῖται καὶ ὕστερον Σαμαρεῖται, πρὸς τὰς περὶ τοῦ θείου
τούτοις δόξας συνδιεφθείροντο· ὅθεν ἐφ' ἑκάστῃ παρανομίᾳ
ἐτύγχανον τῆς θείας ἀγανακτήσεως. πρῶτος μὲν γὰρ αὐτοῖς
ὁ Σαλμανασὰρ ἐπιστρατεύσας οὐκ ἐλάχιστον ἐκεῖθεν πλῆθος
ἀπήγαγε δορυαλώτων· εἶτ' αὖθις ὁ Θαγλαφασὰρ αὐτοῖς ἐπι- 30
θέμενος τὰς πλείους τῶν πόλεων τούτοις κατέστρεψε. καὶ ἵνα
παρῶ τὰς ἐπιστρατείας τῶν ἄλλων ἐθνῶν, ἀλλ' ἐπί γε βασι-
λέως Ἐζεκίου ὁ Μῆδος Σεναχηρεὶμ πανστρατιᾷ κατὰ τῆς Ἱε-
ρουσαλὴμ ἐπελθὼν μικροῦ δεῖν ἀπώλεσεν ἄν, εἰ μὴ τῇ τοῦ
βασιλέως εὐχῇ καὶ τῇ ἐν σποδῷ καὶ σάκκῳ ταλαιπωρίᾳ ἀωρί 35
πως ἐξ[ώλ]ετο τούτῳ τὸ στράτευμα· ἑκατὸν γὰρ ὀγδοήκοντα
πέντε χιλιάδες ἐν μιᾷ τῶν νυκτῶν ἄρδην ἀπώλοντο, ὡσεὶ καὶ
εἷς ἄνθρωπος. ἐφ' οἷς πρὸς τὸν κρείττονα βίον μεταθέμενοι
καὶ τὴν τοῦ θείου ῥοπὴν κρείττονα συνδιετίθουν αὐτοῖς· αὖ-
θις δὲ μεταβαλλόμενοι καὶ τῶν χειρίστων ἁπτόμενοι εἰς τὴν 40
κατ' αὐτῶν μῆνιν τὸν ἀόργητον ἐξέκαιον κύριον. ἐπεὶ γὰρ
Ἰωακείμ, ὁ τοῦ Ἰωσίου υἱός, ἐβεβήλου τὰ ἅγια καὶ παρανό-
μως ἐξηγεῖτο τοῦ πλήθους, κινεῖ κατ' αὐτοῦ τὸν Ναβουχοδο-
νόσορ θεός, πρῶτον ἔτος τῆς βασιλείας ἀνύοντα, ἐκείνου με-
σοῦντος τὸ τρίτον. ὁ δὲ Βαβυλώνιος οὗτος βασιλεὺς πολιορ- 45
κήσας τὴν πόλιν καὶ χάρακας τοῖς τείχεσι κύκλῳ βαλόμενος

23 Ὄντι (Ὢν)] e.g. Osee 4,15; 5,8 | Ἀστάρτῃ] 3 Regn. 11,5 et cett. || **24** Δαγὼν] e.g. Iudic. 16,23 || **29** Σαλ.] 4 Regn. 17,3 || **30** Θαγλ.] 4 Regn. 15,29 || **33** Σεν.] 4 Regn. 18,13–19,37 || **39–67** cf. 4 Regn. 23,34–25,7

23 τῇ Wk.: τῶι **c** || **31** τούτων, sscr. οις pr. m., **c** || **36** leg. τοῦτο? || **43** et **63** ναυουχοδόσορ **c**

αὔτανδρον εἷλε· καὶ τὸν μὲν Ἰωακεὶμ ἀπὸ τῶν τειχῶν ὦσε
κατὰ κρημνῶν, καθιστᾷ δὲ βασιλέα τῷ πλήθει τὸν ἐκείνου
υἱόν, ὃς δὴ Ἰεχονίας ἅμα καὶ Ἰωακεὶμ διὰ τὸν πατέρα ἐκέ-
50 κλητο, ὁμολογήσαντα δασμοφορεῖν τὴν Ἱερουσαλὴμ τῇ Βα-
βυλῶνι καὶ τἆλλα ποιεῖν, ὁπόσα νόμος τοῖς ὑποτεταγμένοις
καὶ χείροσιν. εἰ μὲν οὖν ἔμεινεν ἐπὶ τῆς ὁμολογίας Ἰεχονίας,
οὔτ' ἂν ἐπεχείρησε δευτέροις ἄθλοις ὁ Βαβυλώνιος οὔτ' ἂν
Ἱερουσαλὴμ ἁλώσεως δευτέρας τετύχηκεν. ἐπεὶ δὲ κατωλιγώ-
55 ρησε τῶν σπονδῶν, ὁ Ἀσσύριος αὖθις οὗτος ἀνὴρ τὰς ἁπαν-
ταχοῦ συλλέξας δυνάμεις καὶ ὥσπερ ὑφ' ἑνὶ πνεύματι τὴν πό-
λιν καταλαβὼν ταύτην τε ἀπετείχισε καὶ τὸν Ἰεχονίαν τυ-
φλώσας μετὰ καὶ πλήθους ἑτέρων δορυαλώτων εἰς Βαβυ-
λῶνα κατήγαγεν, ἐπιστήσας τοῖς πράγμασι Ματθανίαν τὸν
60 καὶ Σεδεκίαν, ὃς ἀδελφὸς μὲν ἦν τοῦ προτέρου Ἰωακείμ (Ἰω-
σίου γὰρ ἄμφω τὼ παῖδε τούτω υἱέε), θεῖος δὲ τοῦ δευτέρου
Ἰωακεὶμ τοῦ καὶ Ἰεχονίου. καὶ ὁ Σεδεκίας δ' οὗτος ταὐτὰ
πρὸς τὸν Ναβουχοδονόσορ τῷ ἀδελφιδῷ καθομολογήσας
χρόνον μέν τινα τούτοις ἠγάπησεν, εἶτα τὰς σπονδὰς ἀπο-
65 στέρξας πάλιν ἐπιστρατεύσαντα εἶδε τὸν Βαβυλώνιον, ὁπότε
δὴ πάντα τὰ τῶν Ἰουδαίων ἀνήρηται καὶ ἡ πᾶσα σχεδὸν ἠχ-
μαλωτεύθη πληθὺς ἐφ' ὅλοις ἔτεσιν ο', ὃ δὴ καὶ Δανιὴλ ἀρι-
δηλότατα προεφήτευσε· τοῦτον γὰρ καὶ Κῦρος εἰδ[έν]αι
[δοκ]εῖ μετα[..............]μενον ἀποκαθιστᾷ τὴν αἰχμαλω-
70 σίαν τῇ Ἰουδαίᾳ, τῷ ἱερεῖ Ἰησοῦ καὶ τῷ Ζοροβάβελ ἐπιτρέ-
ψας τὰ πράγματα, ἐφ' ὧν ὅ τε ναὸς ᾠκοδόμηται καὶ ὁ ἐνδε-
λεχισμὸς ἤρξατο τῶν ἐναγισμῶν.

Ταῦτα δέ μοι τοῦ λόγου οὐ μάτην προείληπται, ἀλλὰ δυοῖν
ἕνεκα, τοῦ μὲν ἵνα καὶ ὑμεῖς ἔχοιτε γινώσκειν τὰ ἱστορού-
75 μενα, τοῦ δὲ ἵν' ὃ δὴ καὶ ἀναγκαιότατον δείξαιμι, ὡς ἐπὶ μὲν
ταῖς ἄλλαις παρανομίαις ὁ Ἰσραὴλ αἰχμαλωτιζόμενος αὖθις
ἀποκαθίστατο καὶ ὅτι καὶ ῥητοὶ χρόνοι παρὰ τῶν προφητῶν

67–68 Dan. 9,2 || **70–72** e.g. 2 Esdras 3,1–4,5; Agg. 1,1–15

63 ἀδελφιδῇ **c**: corr. Wk. || **67** ὃ Wk.: ὃν **c**

ταῖς αἰχμαλωσίαις αὐτῶν ἐψηφίζοντο, ἀφ' οὗ δὲ θεοκτόνοι γεγόνασι καὶ τὸ μέγα τοῦτο ἀνόμημα τοῖς προλαβοῦσιν ἐπιτεθείκασι, παμπληθεὶ πρὸς τὴν Ῥωμαίων ὑπαχθέντες ἡγεμο- 80 νίαν οὐκέτι τῆς ἀποκαταστάσεως τεύξονται.

Πρῶτον μὲν ἱστορικωτέραν τὴν τοῦ κυρίου πρόρρησιν ὁ λόγος ὑποδεικνὺς ἀποτρέπεται μὴ γενέσθαι τὴν φυγὴν αὐτῶν ἐν χειμῶνι ἢ ἐν σαββάτῳ· ἐν μὲν τῷ χειμῶνι, διότι θέρους μὲν οἱ στρατιῶται ῥωμαλεώτερον συνασπίζουσι καὶ τὸν ἐπερ- 85 χόμενον ἀποτρέπονται πόλεμον, χειμῶνος δὲ τοῦτο μὲν διὰ τὴν σιτοδείαν, τοῦτο δὲ διὰ τὴν τοῦ καιροῦ βαρύτητα καὶ ἐπάχθειαν δυσπαθῶς πως ἀναφέρουσι, καὶ μάλιστα πολιορκούμενοι ἢ τοῦ ἀντιπολεμοῦντος κλέψαντος τὴν ἔφοδον ἐπ' αὐτοῖς. τηνικαῦτα γὰρ φυγεῖν, οὐκ ἀντιτάσσεσθαι καταναγ- 90 καζόμενοι χαλεπῷ τῷ καιρῷ χρῶνται, τῶν τε †καιρῶν† διολισθαίνοντες καὶ ὑπ' ἀλαμπεῖ τῇ νυκτὶ ὅπῃ τύχῃ συμπίπτοντες· ὁρᾷς γὰρ ὡς οὐδὲ πόλεμον τὸ συμβησόμενον, ἀλλὰ φυγὴν τὸ πρᾶγμα ὁ λόγος ὠνόμασεν; 'εὔχεσθε' γάρ φησι 'μὴ φυγεῖν ἐν χειμῶνι ἢ ἐν σαββάτῳ.' ἔστι δὲ αὕτη ζ' ἡμέρα, ἀφ' 95 ἧς ὁ κύριος ἤρξατο τὸν τῇδε κόσμον δημιουργεῖν, ἐν ᾗ δὴ καὶ καταπαύσας ἀπὸ τῶν ἔργων αὐτοῦ εἰς ἀνάπαυσιν τῷ Ἰσραὴλ ἀπεκλήρωσεν, ἵνα, φησίν, ἀναπαύσηται 'ὁ βοῦς σου καὶ τὸ ὑποζύγιόν σου'. κατὰ ταύτην δὲ τὴν ἡμέραν, ἤτοι τὸ σάββατον, θυσίας μὲν ἐπετέλουν τινάς, οὔτε δὲ ἔσπερον οὔτε ἐφύ- 100 τευον οὔτε ἐκινοῦντο μακρότερον, πολλοῦ γε καὶ δεῖ ὥστε καὶ δόρατος ἅπτεσθαι καὶ ἐν ὅπλοις εἶναι. διὰ τοῦτο αὐτοῖς βαρὺ τὸ ἐν σαββάτῳ φυγεῖν, μὴ δυναμένοις παλινδιώξει [.........]σθαι ἢ πορρωτέρω τῶν νενομισμένων βημάτων χωρεῖν. 'οὐαὶ δέ' φησι 'καὶ ταῖς θηλαζούσαις καὶ ταῖς ἐν γαστρὶ 105 ἐχούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.' πᾶσα μὲν γὰρ γυνή, ὥσπερ ἀσθενὴς πρὸς παράταξιν, οὕτω πρὸς φυγήν, καὶ ἡ ἐπίτεξ

94–95 Matth. 24,20 ‖ **98–99** Exod. 20,10 ‖ **105–106** Matth. 24,19

91 καιρῶν e priore irrepsit; lege fere ἐχθρῶν ‖ **100** ἔσπερον] sic cod. ‖ **104** ex. gr. χρήσασθαι

καὶ μᾶλλον· τηνικαῦτα γὰρ ἀσθενεστέρα διὰ τὸ ἐπαχθὲς τοῦ φυσικοῦ φορτίου γινομένη ὁμοῦ τε πρόεισι καὶ ἀπολιγωρεῖ
110 καὶ θᾶττον τῷ ἐμβρύῳ συναποθνήσκει· οὐδὲν δὲ ἧττον καὶ ἡ ἐπὶ μάλης τὸ βρέφος ἔχουσα τοῖς αὐτοῖς ἐκείνοις κακοῖς συγκυρεῖ. ἀλλὰ καὶ ὁ δυνάμενος διαδρᾶναι τὸν ἐφεστηκότα πόλεμον, εἶθ' ὑποστρέψας ἵν' ἀφέληται τὸ ἱμάτιον, ἁλωτὸς γίνεται καὶ ἀπάγεται δορυάλωτος. ταῦτα δὲ πάντα πεπόνθασιν
115 Ἰουδαῖοι ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς καὶ ὕστερον ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου τῶν βασιλέων· οὗτος γὰρ αὐτοῖς τελευταῖος ὅρος ἐγίνετο τῶν κακῶν.

Ἡ μὲν οὖν ἐξήγησις ἱστορικωτέρα τῆς προρρήσεως αὕτη, ἣν δὴ καὶ Ἰουδαίοις μόνοις ὁ λόγος ἀποκληροῖ· ἡ δὲ κατὰ
120 θεωρίαν καὶ παντὶ ἀνθρώπῳ τὸ μέλλον λέγουσα, ὡς εἰκάσαι, αὕτη. φυγή ἐστιν ἢ ἡ παντελὴς τοῦδε τοῦ παντὸς μεταποίησις, καθ' ἣν ἀπὸ τοῦ παρόντος βίου πρὸς ζωὴν ἑτέραν μεταπεμπόμεθα· ἢ ὁ τοῦ καθ' ἕκαστον θάνατος, οἷον γὰρ καὶ ἐν τούτῳ ἀποδιδράσκει τὸ σῶμα ψυχὴ καὶ τῆς βαρυτάτης πέδης
125 ἐκλύεται. ἀλλ' εὐξώμεθα, ἵνα μὴ γένηται ἡ τοιαύτη φυγὴ ἡμῖν ἐν χειμῶνι· χειμὼν δέ ἐστι κατὰ τοὺς τῆς τροπῆς νόμους ἐν ἡμῖν, ὁπότε δὴ πρὸς τὸ σῶμα ἡ ψυχὴ στασιάζουσα καὶ ἀντέχειν μὴ δυναμένη ταῖς τῶν παθῶν ἐμβολαῖς ὑποκλύζεται καὶ ὑπείκει τῷ χείρονι καὶ πάντα πάσχει τὰ χαλεπώτατα. καὶ
130 ὥσπερ χειμῶνος ὁ ἥλιος ἀπελαυνόμενος φαίνεται, οὕτω δὴ καὶ τὸ τοῦ νοῦ φῶς ἐν τῷ χειμῶνι τῆς φύσεως καὶ ταῖς ἐπαναστάσεσι τῶν παθῶν πόρρω ποι γίνεται, καὶ ἐν σκότῳ καὶ ἀχλύϊ ταλαιπωρεῖται ὁ ἄνθρωπος, νῦν μὲν ὄμβρων αὐτῷ ἐπιχεομένων, νῦν δὲ τῆς θαλάσσης ἀνοιδούσης καὶ τῶν πνευμά-
135 των ἐπεμβαλλόντων. αἰνίττεται δὲ ταῦτα τὴν φύσιν καὶ τὰς ἐν ταύτῃ κῆρας καὶ τῆς ἀλόγου ψυχῆς τὰς ὁρμὰς καὶ τὰς τῶν δαιμόνων ἐπιβουλάς. ἀλλ' ἧττον μὲν κακόν, εἰ ἐν χειμῶνι

135–136 cf. infra 25,9–10

112 πόλεμον Wk.: πόλ( )λεως ut vid. **c** ‖ **128** ὑποκλύζοι τε **c**: corr. Du. ‖ **135** ἐπεμβαλόντων **c** ‖ **136** ὁρμὰς, sscr. ἀφορ, pr. m. **c**

φευξόμεθα, μᾶλλον δ' εἰ ἐν τῷ σαββάτῳ, ὁπότε δὴ καὶ τὸ αὐτοκίνητον τῆς ψυχῆς ἀπολέσαντες καὶ πρὸς πᾶσαν πρακτικὴν ἀπονεκρωθέντες οἷον ἀρετὴν ἀνενέργητοι πάντῃ τυγχά- 140 νομεν καὶ ἀκίνητοι ἐρ[................................ ..]· ὑποπεσούσης γὰρ τῆς ψυχῆς πάντῃ τῷ σώματι καὶ ἀπρακτούσης πρὸς τὰ καλὰ τὸ ὀλέθριον αὐτῇ σάββατον ἐπιγίνεται. 'οὐαὶ δὲ καὶ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις'· φύσεις δὲ καὶ αὗται ψυχῶν· καὶ αἱ μὲν τὰς δοθεί- 145 σας αὐταῖς ἀφορμὰς παρὰ θεοῦ τῶν ἀρετῶν ἐνδομυχοῦσαι καὶ κρύπτουσαι, οἷον μὴ τίκτουσαι μηδὲ τρέφουσαι, ἀλλ' οἷον κ̣α̣τ̣ὰ̣ τὸν πονηρὸν δοῦλον χωννύουσαι κατὰ γῆν καὶ πνεῦμα σωτηρίου μὴ ἀποτίκτουσαι τέλειον· αἱ δ' ἀπογεννῶσαι μὲν ἀρετάς τινας ἀπὸ τῆς τοιαύτης ὠδῖνος, μὴ μέντοι γε τελείας 150 καὶ εὐμεγέθεις, ἀλλὰ νηπιώδεις καὶ γαλακτοτροφουμένας. ἀμφότεραι οὖν ὑπὸ δίκην ἀχθήσονται, αἱ μὲν ὡς ἄγονοι καὶ ὅτι μηδ' ὅλως ἀπογεγεννήκασιν, αἱ δὲ ὡς ἀμβλωθρίδια ἀποτέξασαι καὶ ἀνεμιαῖα καὶ Πλατωνικῶς εἰπεῖν οὔρια, καὶ τὸ ὅλον νηπιώδη καὶ ἀτελῆ. μηδὲ φυγόντες εἶτα στραφῶμεν λα- 155 βεῖν τὸ ἱμάτιον· οἱ γὰρ τὸν ἐσπιλωμένον χιτῶνα ἀποδυσάμενοι, εἶτα πρὸς τοῦτον παλινδρομήσαντες, οὐ μόνον τὸν ἐν τοῖς πεπονημένοις μισθὸν ζημιοῦνται, ἀλλὰ καὶ βαρυτέρας ἀξιοῦνται τῆς κατακρίσεως, ὅτι 'γευσάμενοι' κατὰ τὸν ἀπόστολον 'καλὸν θεοῦ ῥῆμα' καὶ γνώσεως μυστηρίων ἀξιωθέν- 160 τες πάντα προδιδόασιν, ἡδονῇ βραχείᾳ δελεασθέντες.

Ἔχετε οὖν, ὦ φίλοι καὶ ἀδελφοί, τῆς διττῆς προρρήσεως τὴν ἐξήγησιν· συνευξώμεθα οὖν ἀλλήλοις καὶ ὑπὲρ ἀλλήλων καὶ ὑπὲρ ἑαυτῶν, ἵνα μήτε ἐν χειμῶνι μήτε ἐν σαββάτῳ τὸν τῇδε φύγωμεν βίον μήτε ἐν ὠδῖσιν ὄντες μήτε ἀτελῆ γεννή- 165 σαντες μήτε πρὸς τὸν ἴδιον ὥσπερ κύνες ἐπιστραφέντες ἔμετον.

147–148 Matth. 25,14–26 || **159–160** Hebr. 6,5 || **166–167** 2 Petr. 2,22; CPG I 366; cf. Prov. 26,11

138 τευξόμεθα **c**: corr. Wk. || **142** παντὶ **c**: corr. Wk. || **154** an Ἀριστοτελικῶς debuit?

18

Τοῦ Ψελλοῦ εἰς τὸ 'ἐθεώρουν τὸν σατανᾶν'

Πολλαχοῦ τῶν εὐαγγελίων ὁ κύριος δοκεῖ μοι μὴ πρὸς τὰς πεύσεις τὰς ἀποκρίσεις ποιεῖσθαι· τούτου δὲ αἴτιον, ὅτι ἐννοιῶν καὶ καρδίας ἐπιβατεύων πρὸς τὰς τῆς ψυχῆς διαθέ-
5 σεις, ἀφ' ὧν οἱ λόγοι ἐσχηματίσθησαν, ἀποκρίνεται. πρὸς μὲν γὰρ τὸν εἰρηκότα 'διδάσκαλε ἀγαθέ', 'οὐδείς' φησιν 'ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός'· πρὸς δὲ τὸν εἰπόντα 'ἀκολουθήσω σοι ἔνθα ἂν ἀπέλθοις', 'αἱ ἀλώπεκες' φησί. κατὰ γοῦν τὸ προβεβλημένον εἶδος τῆς ἐρωτήσεως ἄλογοι δοκοῦσιν αἱ ἀποκρίσεις, ὡς
10 δὲ πρὸς τὴν τοῦ ἠρωτηκότος διάνοιαν καὶ πάνυ προσφυεῖς καὶ κατάλληλοι.

Ὁ μὲν γὰρ εἰπὼν 'διδάσκαλε ἀγαθέ' ὡς περὶ ἀγαθοῦ τινος ἀνθρώπου τοῦ θεοῦ διελέγετο, οὐκ ἀφ' ἑαυτοῦ τὸ ἀγαθὸν πηγάζοντος, ἀλλ' ἄνωθεν ἐρανιζομένου. ἐπεὶ γοῦν ἔξωθεν
15 συνῆπτε τῷ κυρίῳ τὸ ἀγαθόν, διὰ ταῦτά φησιν 'οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός' καὶ 'τί με λέγεις ἀγαθόν;' ἄνθρωποι μὲν γὰρ ταῖς ἀγαθαῖς προσμαρτυρούμενοι ἕξεσιν ἀσμένως τε τὴν μαρτυρίαν λαμβάνουσι καὶ ἐπαινοῦσι τῆς εὐφημίας τὸν εἰρηκότα. ὁ θεὸς δὲ οὐχ οὕτως, πολλοῦ γε καὶ δεῖ· ἀλλ' εἰ μέν τις
20 αὐτῷ ὡς θεῷ μαρτυρήσει τὸ ἀγαθόν, ἐφ' ᾧ δὴ καὶ οὐσίωται, οὐκ ἀπωθεῖται τὸν ἔπαινον, εἰ δ' ὡς ἀνθρώπῳ ψιλῷ, ἐπιστομίζει τὸν ὑμνηκότα. τοιοῦτος τοίνυν καὶ ὁ νομικὸς ἀνὴρ ἐκεῖνος, ἀγαθὸν ἀποκαλῶν τὸν θεόν, οὐχ ὅτι τὸ κυρίως ἀγαθὸν αὐτὸς ἦν, ἀλλ' ὅτι ἄλλο τι ὢν μετέσχε τῆς ἀγαθότητος. 'οὐ-
25 δείς' γοῦν φησιν 'ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός.' καὶ περὶ τούτου

1 Luc. 10,18 ‖ **6–7** Marc. 10,17–18 ‖ **7–8** Matth. 8,19–20 ‖ **15–16** Marc. 10,18 ‖ **25** καὶ – **26** συμφέρεσθον] cf. Euseb. Praep. evan. XIV 4,1,3–4

18 c 286v–288v ‖ ined. ‖ **10** utrum πάνυ an πάλιν incertum **c** ‖ **17** τε sscr. **c**

πάντες ἐξαίσιοι σοφοὶ συμφέρεσθον, Αἰγύπτιοί τε καὶ Ἕλληνες καὶ πρὸ πάντων τούτων Ἑρμῆς ὁ οὕτω Τρισμέγιστος ἐπονομαζόμενος. προθέμενος γὰρ εἰπεῖν ὅ τί ποτέ ἐστι τὸ ἀγαθόν, τὰς μὲν ἐν τῇ ψυχῇ ἕξεις τάς τε μὴν ἀρετὰς καὶ τὰς ἀπὸ τῶν ὑπερτέρων εἰς τὰ ὑφει[μένα] προϊούσας παρῆκεν, 30 ὁρίζεται δὲ τοῦτο οὖν τὸ πρὸ τῶν ἁπάντων ἕν, ἀφ' οὗ δὴ τἆλλα κατὰ μετοχὴν ἀγαθά τέ ἐστι καὶ λέγεται, οὐχ ὡς ὄντα κυρίως, ἀλλ' ὡς πεπονθότα τὸ ἀγαθόν. ἐπὶ πᾶσι δὲ τοῖς εἰρημένοις καὶ ὁ φιλόσοφος Πρόκλος ἐν οἷς τε στοιχειοῖ τὸν φιλόσοφον καὶ ἐν τοῖς Περὶ προνοίας αὐτοῦ λόγοις, ἐν τῷ τρίτῳ 35 καὶ μάλιστα κεφαλαίῳ, ὡς οἶμαι, 'ταὐτόν' φησὶ 'τἀγαθὸν τῷ ἑνί, τοῦτο δὴ τὸ μυριόλεκτον'· οὕτως γὰρ ἐκεῖνος εἴρηκεν ἐπὶ λέξεως. παρεκβατικώτερον δὲ ταῦτα εἴρηκα, ἵν' ᾖ δῆλον, ὁπόθεν ὁ κύριος τὴν τοῦ ἀγαθοῦ μαρτυρίαν μὴ προσηκάμενος φαίνεται. 40

Καὶ οὗτος μὲν ὁ νομικὸς ἐντεῦθεν ἐπεστόμισται, ὁ δὲ ἕτερος ἑτέρως. πρὸς γὰρ τὸ 'ἀκολουθήσω σοι ὅπου ἂν ἀπέλθῃς' εἴρηται τὸ 'αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν'. ἐπεὶ γὰρ φιλοχρημάτως εἶχεν οὗτος ὁ ἀνήρ, ἑώρα δὲ πολλοὺς ἀργύριον καταβαλλομένους τῷ Ἰησοῦ ἐφ' οἷς ἐτέλει θαυματουργῶν, ἐντεῦ- 45 θεν πλουτήσειν ᾤετο στιβάδας τε κτήσασθαι ὑψηλὰς καὶ τάπητας ἁλουργοὺς οἴκους τε περιβαλέσθαι μεγάλους καὶ περιπάτους οἰκοδομήσειν ἐμπλήσειν τε χρεωστῶν μὲν τὴν πόλιν, ἀνδραπόδων δὲ τὸν οἶκον. ἀλλὰ πρὸς τὴν τοιαύτην ὑπόληψιν τὰς ἀποκρίσεις πεποιημένος ὁ κύριος, 'αἱ ἀλώπεκες' φησὶ 50 'φωλεοὺς ἔχουσιν, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου ἐγὼ οὐκ ἔχω ποῦ τὴν κεφαλὴν κλῖναι'· πένομαι γὰρ οὐδὲν ἧττον ἐκείνων, εἰ μὴ καὶ μᾶλλον, ὅσον τοῖς μὲν φωλεὸς καὶ κατάδυσις, ἐμοὶ δὲ οὐδὲ βραχύ τι πέφυκεν ὑπαγκώνιον, ὥστε τὴν κεφαλὴν

31 cf. Hermes Trismeg. II 15–16; VI 1; XIV 9 ‖ **34** Procl. Elem. th. 13 ‖ **36–37** Procl. Decem dub. 10,9; cf. Psell. Theol. I, opusc. 49,90 ‖ **42–43** Matth. 8,19–20

30 προϊούσας] punctis dist. **c** ‖ **35** (πρωτο)νοίας **c**

55 ἐκείνῳ προσερεῖσαι. ἔχει δέ τινα καὶ ἑτέραν ἔννοιαν τὸ ῥητόν. ἐπειδὴ γὰρ εἶδε χρηματιστὴν τὸν ἄνδρα ὁ κύριος, ἀπηγόρευσεν αὐτῷ τὸ σὺν αὐτῷ εἶναι, ὅτι μὴ ἔχω, φησίν, ἐν σοὶ ἀναπαύσασθαι. ἐγὼ μὲν γὰρ ψυχαῖς δικαίαις ἐπαναπέπαυμαι, ἐπὶ σοὶ δ' αἱ ἀλώπεκες τοὺς φωλεοὺς ἔθεντο, ἅστινας δὴ
60 ταύτας ὑποληπτέον, οἶμαι δὲ τὰ κακοῦργα καὶ πονηρὰ πνεύματα, ἃ δὴ κατὰ τὰς διαφόρους ἐπιβολὰς τῶν ἐννοιῶν καὶ πετεινὰ κατωνόμασεν οὐρανοῦ.

Τοιοῦτόν ἐστι καὶ τὸ παρ' ὑμῶν τὴν τήμερον προβληθέν. τῶν γὰρ μαθητῶν εἰρηκότων, 'κύριε, καὶ τὰ δαιμόνια ἡμῖν
65 ὑποτάσσεται', 'ἐθεώρουν' φησὶ 'τὸν σατανᾶν ἐκ τοῦ οὐρανοῦ ὡς ἀστραπὴν πεσόντα'. ἀσυνάρτητος γὰρ κἀνταῦθα πρὸς τὸν τῶν ἀποστόλων λόγον ἡ τοῦ κυρίου ἀπόκρισις, συμβιβάζεται δὲ πρὸς τὴν ἐκείνων ἀποδεδομένη διάνοιαν, ἀφ' ἧς ἐκεῖνοι τοὺς λόγους πρὸς τὸν διδάσκαλον ἐποιήσαντο. τίς δὲ
70 ἡ τῶν ἀποστόλων διάνοια; οὗτοι, ἐπειδὴ πνεύμασιν ἅπαξ ἐπιτιμήσαντες ἀπήλασαν ἀφ' ὧν κατεσκήνωσαν, μέγα τι περὶ ἑαυτῶν ἐφαντάσθησαν· ὅθεν ἐπὶ τῷ τοιούτῳ μεγαλουργήματι ἁβρυνόμενοι ἐντεῦθεν ὕμνησαν τὸν διδάσκαλον. οὐ γὰρ ὅτι εἰς μαθητείαν αὐτῷ προσεχώρησαν οὐδ' ὅτι κρειττόνων μα-
75 θημάτων μετέσχον οὐδ' ὅτι παρὰ τοὺς ἄλλους τῷ Ἰησοῦ ἐξελέγησαν εὐφημεῖν αὐτὸν προείλοντο καὶ εὐγνωμονεῖν ἐφ' οἷς εὖ πεπόνθασιν, ἀλλ' ὅτι τῶν δαιμόνων κατεδυνάστευσαν. ἐδόκει γὰρ αὐτοῖς μέγα τὸ κατισχύσειν ἀρχῶν καὶ καταδυναστεύσειν ἐξουσιῶν καὶ κρατήσειν τοῦ κοσμοκράτορος. τῆς
80 γοῦν τοιαύτης οἰήσεως ἀπάγων ὁ κύριος, 'ἐθεώρουν' φησὶ 'τὸν σατανᾶν ἐκ τοῦ οὐρανοῦ πεσόντα'. τοῦτο δὲ μονονουχὶ τοιοῦτόν ἐστιν, ὅτι μὴ τῆς ὑμετέρας δυνάμεως τὸ κατισχύειν τῶν πονηρῶν πνευμάτων, ἀλλὰ τῆς ἐκείνων ἀσθενείας, μᾶλλον δὲ τῆς ἐμῆς ἰσχύος. ὁ μὲν γὰρ τὸν ἐν ἀκροπόλει τύραν-
85 νον καθελὼν δικαίως ἂν τὸν ἀπὸ τοῦ δήμου αἰτήσειε στέφα-

62 ibid. ‖ **64–65** Luc. 10,17–18

59 δὴ sscr. c ‖ **61** utrum ἐπιβολὰς an -ουλ- incertum c

νον· εἰ δέ τις ἐκεῖθεν φυγάδα γενόμενον ἀπαντήσας ἀνέλοι, οὐ τυραννοκτόνος οὗτος οὐδὲ δεῖ τοῦτον βρενθύεσθαι ἐφ' οἷς φυγάδα καὶ περιεσπασμένον ἀπέκτεινεν ἄνθρωπον. καὶ ὑμεῖς τοιγαροῦν πεπτωκότι τῷ [ἐχθρ]ῷ [...........] ἐπιστρατεῦ[σαι] φρυά[ττεσθε ....] τὸν σα- 90 ταναν ἐκ τοῦ οὐρανοῦ ὡς ἀστραπὴν πεσόντα. ὑμεῖς μὲν γὰρ νῦν δοκεῖτε τοῦτον καταρριπτεῖν ἐπιτιμᾶν τε καὶ ἀπελαύνειν· ἐγὼ δὲ πρὸ π[.....]ων ἐθεώρουν ἐν οὐρανῷ ἐπαιρόμενον καὶ ἐκεῖθεν ἀπορριπτούμενον δίκην τῆς ἐκπυρηνιζομένης ἀστραπῆς καὶ οἷον ἀπωθουμένης ἐκ τῶν νεφῶν. οὐδὲν οὖν καινόν, 95 τὸν ἰσχυρὸν ἅπαξ δεθέντα αὖθις ἐπιδεσμεῖν καὶ ἅμμασι περιβάλλειν τῶν προτέρων ἐλάττοσι.

Τὸ δὲ 'πεσεῖν ἀπὸ τοῦ οὐρανοῦ' ταὐτόν ἐστι τῷ ἀπὸ τῶν νοητῶν. πολλαχοῦ γὰρ ἡ γραφὴ συνεκδοχικώτερον τὴν μὲν αἴσθησιν διὰ τῆς γῆς ὑπαινίττεται, τὴν δὲ νόησιν διὰ τοῦ οὐ- 100 ρανοῦ. 'ὁ πρῶτος' γάρ φησιν 'ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἐξ οὐρανοῦ.' οὐ γὰρ ὥσπερ ὁ Ἀδὰμ ἐκ γῆς ἔσχε τὴν σύστασιν, οὕτως δὴ καὶ ὁ κύριος ἐκ τῆς αἰθερώδους οὐσίας, ἐκ τοῦ οὐρανοῦ, τὴν τοῦ προσλήμματος φύσιν ἐδημιούργησεν, ἄπαγε τοῦ ἀτόπου. καὶ τὸ 'πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς' 105 τοῦτό μοι ὑπεμφαίνειν δοκεῖ, τουτέστιν ἐν τοῖς νοητοῖς· τὸ γὰρ 'οὐδεὶς τόπος τῆς καταπαύσεώς μου' αὐτὸς περὶ ἑαυτοῦ εἴρηκεν. ὅτι δὲ ἐπὶ καθαιρέσει τῆς τῶν μαθητευομένων οἰήσεως ἡ σοφία τοὺς λόγους ἐσχηματίσατο, δηλοῦσι τὰ ἐφεξῆς· 'μὴ' γὰρ 'ἐπὶ τούτῳ' φησὶ 'χαίρετε, ἀλλ' ἐφ' οἷς τὰ ὀνόματα 110 ἐγράφη ἐν τοῖς οὐρανοῖς.'

Καὶ ὁ μὲν λόγος ἐνταῦθα συμπεπεράνθω, ἐπειδήπερ τὸ πρόβλημα αὐτάρκη τὴν λύσιν ἀπείληφεν. ὑμεῖς δὲ εὖ ἴστε ὡς πολλὰ ἔχων περὶ δαιμόνων εἰπεῖν, ἐφ' ὧν δὴ πολλοῖς περὶ αὐτῶν βιβλίοις ὡμίληκα, ἀναβάλλομαι, ὅτι μὴ χωρεῖν οἷοί τέ 115

101–102 1 Cor. 15,47 || **105** Matth. 6,9 || **107** Acta 7,49 || **110–111** Luc. 10,20

93 ex. gr. πολλῶν αἰώνων || **105** ἀτόπου Wk.: σκοπ(˜) **c** || **115** βιβλίων **c**: corr. Wk.

ἔστε τὰ λεχθησόμενα. εἴτε γὰρ τὰς ἡμετέρας δόξας καὶ ἀληθεῖς καταλέγοιμεν, ἀπέραντον τὸ πέλαγος τῆς ζητήσεως, πῶς δὴ ἁπλῆ φύσις ὁ Ἑωσφόρος τυγχάνων τὰ τῶν συνθέτων ὑπέμεινε, καὶ πῶς ἐτραχηλίασε κατὰ τοῦ πεποιηκότος αὐτὸν
120 ὁ μᾶλλον τῶν ἄλλων ἀκαθαίρετον τὸ ἐκείνου κράτος εἰδώς, τίς τε ἡ τοῦ πνεύματος ἔπαρσις, καὶ εἰ ἀκαριαία ἢ ἐν παρατάσει χρόνου θεωρεῖται, πῶς τε ἡ ἐξ οὐρανοῦ πτῶσις, ὁποῖοι δὲ καὶ οἱ τοῦ πεσόντος δεσμοί· εἴτε δὲ τὰς Ἑλληνικὰς ἐξετάζοιμεν δόξας, διαπληκτίσομαι πρὸς αὐτούς, πῶς ἐν μέσῳ οὗ-
125 τοι ἀγγέλων καὶ ἀνθρώπων ἑστᾶσι καὶ πῶς τῶν ἄκρων συνδέσεις τυγχάνουσι καὶ μεσότητες. διὰ ταῦτα τὴν πλείονα περὶ τούτων ἐξέτασιν ὑπερτιθέμενος, ἐνταῦθα κατακλείειν τὸν λόγον προῆγμαι.

19

Τοῦ Ψελλοῦ εἰς τὸ τῶν Σαδδουκαίων ἐρώτημα

Οὐ μία τοῖς ἐκ περιτομῆς ἦν δόξα περὶ τοῦ τῆς ψυχῆς ἀξιώματος. Φαρισαῖοι γὰρ καὶ Σαμαρεῖται καὶ Ἐσσηνοὶ ἀθάνατόν τε αὐτὴν ὑπελάμβανον καὶ νεκρῶν ἀνάστασιν ἐδογμά-
5 τιζον· οἱ δὲ ἐπισήμου τινὸς Σαδδοὺκ ὀνομαζομένου ἀπόγονοι, οἱ καὶ ἰδίως Σαδδουκαῖοι ὀνομαζόμενοι, ταὐτὰ μὲν τοῖς λοιποῖς ἐθυσίαζον, περὶ δὲ τῆς ἀναστάσεως τοῖς λοιποῖς διεφέροντο μέρεσιν, ὥσπερ δὴ καὶ Σαμαρεῖται κατὰ τἄλλα τοῖς Ἰουδαίοις συμβαίνοντες οὔτε τὴν Ἰησοῦ τοῦ Ναυῆ βίβλον
10 ἐδέχοντο οὔθ' ὅσα μετὰ τὴν πεντάτευχον τοῖς Ἰουδαίοις συγγεγράφαται.

Οὗτοι τοίνυν οἱ Σαδδουκαῖοι ἀνελεῖν τὴν τῆς ἀθανασίας

5–6 cf. Psell. Theol. I, opusc. 106,20–24 || **12–15** Matth. 22,23–30

19 c 326v–328v **m** 317r–v (106–150) || ined. || **1** Εἰς τὸ τῶν σαδουκέων ἐρώτημα περὶ ἀναστάσεως **m** || **10** συγγεγράφατε **c**

πίστιν ἐξ ἐπιτεχνήσεώς τινος οἰόμενοι νομικῆς πάνυ κακοή-
θως τῷ διδασκάλῳ προσέρχονται, ἐξ αὐτῶν ὥσπερ τῶν νομι-
κῶν αἱρήσοντες ἐντολῶν. ὁ δὲ νόμος ἐπειδὴ μὴ πάντῃ πνευ- 15
ματικός (τὸν τοῦ Μωσέως δέ φημι), καὶ τὴν ἀγονίαν καὶ πο-
λυγονίαν κατὰ σωματικοὺς τύπους ἐδέχετο, καὶ τὰς μὲν στε-
ρίφας ἐμέμφετο, ὅσαι δὲ μητέρες πολλῶν τέκνων κεχρηματί-
κασι, ταύτας ἐπῄνει καὶ ἀνεκήρυττε, τὴν αὐτὴν καὶ περὶ τοὺς
ἀγόνους καὶ πολυγόνους ἔχων διάνοιαν. διὰ ταῦτα ὁ Ἑλκανᾶ 20
παρὰ μὲν τῇ Φενάννα μέγας ἐτύγχανε καὶ ἐπίσημος, παρὰ δὲ
τῇ στείρᾳ Ἄννῃ τῆς ἐναντίας δόξης ἐτύγχανε· καὶ τῶν δύο
τούτων γυναικῶν ἡ μὲν ἐστέργετο τῷ ἀνδρί, ὅτι πολυγονεῖ, ἡ
δ' ὡς ἄτοκος ἀπεστέργετο. διὰ ταῦτα τοίνυν ὁ ἀδελφός, τὴν
ἀπαιδίαν τῷ συζύγῳ παραμυθούμενος, πατέρα τοῦτον ἐποίει 25
παράδοξον καὶ νεκρόν. ἐπειδὴ γὰρ ἀποθάνοι ἄτεκνος, ζῶσαν
αὐτῷ τὴν γυναῖκα κατηγγύα τῷ ἀδελφῷ καὶ τὸν πρώτως
ἐκεῖθεν φύντα παῖδα τοῦ τετελευτηκότος ὠνόμαζε· κἂν πολ-
λοὶ δ' εἶεν ἀδελφοί, τούτοις ἐκ διαδοχῆς διὰ τὴν ἀτεκνίαν
διημείβετο ἡ γυνή. {ἀντὶ δὲ τοῦ τί} ὅ τι μὲν οὖν ὁρῶν ὁ νόμος 30
τοῦτο τοῖς ἐκ περιτομῆς ἐνετέλλετο, προϊόντες, ἂν ἄρα οἷοί
τε ὦμεν, διερμηνεύσομεν· ὅτι δὲ οὕτως ἔχει, αὐτὸ τὸ τοῦ
Μωσέως βιβλίον ἀριδηλότατα παριστᾷ. ἀπὸ ταύτης τοίνυν
τῆς νομοθεσίας οἱ ἀθεώτατοι Σαδδουκαῖοι ὁρμώμενοι τὴν εἰς
τὸ ἄτοπον ἀπαγωγὴν διὰ τῆς περὶ τὴν ἀθανασίαν τῆς ψυχῆς 35
ὑπολήψεως κατεσκευάζοντο. ὥσπερ γὰρ οἱ γεωμετροῦντες ἢ
ἄλλως φιλοσοφοῦντες, ἐπειδὰν {τινες} τὴν ἐναντίαν δόξαν
γυμνάζοντες ἄτοπόν τι εὑρήσουσι, ταύτην μὲν ἀναιροῦσι, τὴν
δὲ ἀντιφατικῶς ἀντικειμένην εἰσάγουσιν, οὕτω δὴ καὶ οὗτοι,
θνητὴν δογματίζοντες τὴν ψυχήν, τὸν περὶ τῆς ἀθανασίας 40
λόγον ἐγύμναζον καὶ ὡς πρὸς ἄτοπον ἐντεῦθεν τὸν λόγον

21–21 1 Regn. 1,1–2 ‖ **24–28** Deut. 25,5–6 ‖ **33** ibid.

17 στέριφας **c** ‖ **21** φενάννᾳ **c**: Φενναναα LXX ‖ **25** τῷ] fort. τῇ habet **c** ‖ **27** scr. αὐτοῦ? ‖ **30** ἀντὶ – τί secl. Wk. ut glossema ad ὅ τι | ὅ τι] scr. εἰς τί? ‖ **35** διὰ del.? ‖ **37** τινες] s. l. ins. **c**: secl. Du.

συνήλαυνον, ἵνα διὰ τούτου ἡ μὲν τῆς ἀθανασίας ἀκυρωθῇ ὑπόληψις, ἀντεισαχθείη δὲ ἡ ἀντίφασις.

Ὡς μὲν οὖν ἀκριβεῖ λόγῳ εἰπεῖν καὶ ὁλοσχερῶς, τοιαύτη
45 τις ἦν τοῖς Σαδδουκαίοις ἡ ἐπιχείρησις· προσθήσομεν δὲ καὶ αὐτὴν κατὰ μέρος τὴν ἔννοιαν. δραματουργοῦσί τινα ὥσπερ ἐν σκηνῇ ὑπόθεσιν νομικήν, καὶ πλάττουσι τῷ λόγῳ ἀπὸ τῆς αὐτῆς φυλῆς ὁμοφυεῖς ἀδελφοὺς ζ′ καὶ γυναῖκα μίαν κατὰ γένος διῃρημένην· εἶτα δὴ ταύτην πᾶσι τοῖς ἀδελφοῖς ἐξαλ-
50 λάττουσιν, ἐπεὶ μηδὲ παρ' ἑνὶ τέτοκεν, ἀλλὰ παρὰ πᾶσιν ὁμοίως ἐστειρωμένην τὴν φύσιν ἐφύλαξεν. εἶτα ἐρωτῶσιν ὡς 'ἐπὶ τῆς δογματιζομένης παρὰ σοῦ' τρόπον τινὰ πρὸς κύριον φάμενοι 'ἀναστάσεως τίνος ἔσται γυνή, πᾶσι μὲν ὁμοίως γαμηθεῖσα, μηδενὶ δὲ τῶν ζ′ παιδοποιήσασα;' ᾤοντο γὰρ ἀπο-
55 κριθῆναι τὸν διδάσκαλον, ὡς ἢ τοῖς ἑπτά, οἷς συνεβίωσεν, ἢ τούτων ἑνί, κἀντεῦθεν ἔχειν συνειλημμένον τὸ ἄτοπον, ὅτι οὐχ ἕτερος ἐκεῖνος ὁ βίος παρὰ τὸν τῇδε, εἰ καὶ πάλιν γάμοι καὶ συζυγίαι καὶ γυναῖκες ἀνδράσι κολλώμεναι, καὶ ὡς ἀτόπου εὑρεθέντος τινὸς ἀναιρήσειν μὲν τὴν τῆς ἀτοπίας γέεν-
60 ναν, φημὶ δὴ τὴν ἀθανασίαν καὶ τὴν ἀνάστασιν, ἔχειν δὲ ἀμάχως ἐξ ἀντιφάσεως τὸ θνητὴν εἶναι τὴν ψυχὴν καὶ μὴ ἀναβιώσκεσθαι τοὺς νεκρούς.

Ἀλλ' ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν καὶ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν ἀπ' αὐτῆς εὐθὺς τῆς
65 ἀποκρίσεως τὴν πονηρὰν αὐτῶν ὑπόνοιαν ἀνακρούεται. 'μὴ πλανᾶσθε' γάρ φησιν, 'ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζουσιν, ἀλλ' ὡς ἄγγελοί εἰσι τοῦ θεοῦ.' παρθενίαι μὲν γὰρ καὶ γάμοι τεκνώσεις τε καὶ στειρώσεις συζυγίαι τε καὶ διαστάσεις τῷ παρόντι βίῳ συγκαταλύονται, κ̣α̣τ̣ὰ̣ σχέ-

63 ὁ – αὐτῶν] Sus. 35a ‖ **63–64** 1 Cor. 3,19 ‖ **65–67** Matth. 22,29–30

54 ἀποκριθ.] an δεῖν vel sim. addendum? ‖ **55** τοῖς Wk.: τῶν c ‖ **59** τῆς ἀτοπίας γέενναν] textus vix sanus ‖ **69–70** an καὶ σχέσεις δὲ πᾶσαι?

σεις δὲ πάντα καὶ διαθέσεις μᾶλλον ἢ ἧττον πρὸς τὰ τῇδε 70
κλίνουσι πράγματα. ὁ γὰρ μέλλων αἰὼν κόσμος ἐστὶν ἀσχέ-
του διαγωγῆς, ἔνθα οἱ καλῶς ἐντεῦθεν ἀποδημήσαντες οὐ
κατὰ σάρκα περιπατήσουσιν, ἀλλ' ὡς ἄγγελοι ἔσονται τοῦ
θεοῦ, οὐ πρὸς ἡδονῆς ἀκολασίαν τῇ συμβιώσει τοῦ σώματος
χρώμενοι, ἀλλ' ὡς συγκληρονόμου τῶν ἀκηράτων ἐκείνων 75
ἀγαθῶν, ἵνα μεθ' οὗ τοὺς ἀσκητικοὺς ἢ ἀθλητικοὺς ὑπέμει-
ναν πόνους καὶ συνίδρωσαν καὶ συνέκαμον ταῖς συντονίαις
τῶν ἀρετῶν ἐνταῦθα ταλαιπωρούμενοι, μετὰ τούτου καὶ τῆς
θείας ἀνέσεως τύχωσιν, ὄμμασιν ὁμοῦ καὶ νοεραῖς ἀντιβλέ-
ψεσι τὰ μὲν ὁρῶντες αὐτοφανῶς τὸν θεόν, τὰ δὲ καθαρωτά- 80
ταις περιωπαῖς ταῖς θείαις αὐγαῖς ἐντρανίζοντες.

Τοιοῦτοι μὲν οὖν καὶ οἱ σωματικοὶ Σαδδουκαῖοι καὶ ἡ κατ'
ἐκείνους ἐρώτησις καὶ ἡ πρὸς τὴν ποιὰν ταύτην ἐρώτησιν
τεχνικωτάτη ἀπόκρισις. ἐπεὶ δ' οὐκ ἐπὶ τοιούτων ἐγὼ σπαρ-
γάνων ἐμαιευσάμην ὑμᾶς, ἀλλ' ἀεί ποτε πρὸς τὸν νοῦν συμβι- 85
βάζω καὶ πρὸς τὴν ἀναγωγὴν ἀνάγω τοῦ γράμματος, δέον
ἐστὶ καὶ ἐπὶ τούτου τοῦ θεωρήματος ἀλληγορικώτερον τῷ
λόγῳ προσελθεῖν καὶ νοερῶς ὑφᾶναι τὸ ζήτημα. Σαδδου-
καίους τοίνυν κατ' ἀναγωγὴν οἰητέον τοὺς αὐτοματίζοντας τὸ
πᾶν λογισμοὺς καὶ μήτε κόσμον οἰομένους ἕτερον μήτε νοῦν 90
διεξερευνωμένους, ἀλλὰ μόνην τὴν αἴσθησιν προβαλλομένους
καὶ τῷ σώματι τὴν ψυχὴν διαλύοντας. ὁ δὲ πρὸς ὃν ἡ ἐρώτη-
σις λόγος ὁ ἐν ἡμῖν ἐστι νόμος τοῦ πνεύματος, πρὸς ὃν ἀεί
ποτε οἱ πονηροὶ ἀντιδιατίθενται λογισμοί. ὁ μὲν γὰρ τὸν ἐν
ἀρεταῖς εἰσάγει βίον, ὁ δὲ τὸν ἀπολαυστικὸν καὶ τὸν ἐν ταῖς 95
ἡδοναῖς, καὶ ὁ μὲν τὴν ἐν τελειότητι τῆς ψυχῆς κατάστασιν
εὐδαιμονίαν ὁρίζεται, ὁ δὲ τὸ περιρρεῖσθαι τοῖς φαινομένοις
ἀγαθοῖς. διὰ ταῦτα ἐκεῖνος μὲν ἀθάνατον τίθεται τὴν ψυχὴν
καὶ τὴν ἐκ τῶν νεκρῶν δογματίζει ἀνάστασιν, οἱ δὲ οὐδέν τι
νοοῦσι τοῦ φαινομένου καινότερον. διαμαχόμενοι δὲ πρὸς τὸν 100

75 συνκλ. **c**; fort. -οι legendum || **100** διαμαχόμενοι] hinc **m**, qui praemittit οἱ σαδουκαῖοι τὴν ψυχὴν ἀθάνατον οὐ τίθενται, ὅθεν οὐδὲ νεκρῶν ἀνάστασιν δογματίζουσιν· τῶν γὰρ φαινομένων οὐδέν τι νοοῦσι θειότερον (cf. 98–100)

τοιοῦτον πνευματικὸν νόμον καὶ μὴ ἔσεσθαι ἀνάστασιν ὥσπερ συλλογιζόμενοι, ὡς μὲν γυναῖκα εἰσάγουσι τὴν ψυχήν, ὡς δὲ ἀδελφοὺς ζ′ νόμους τινὰς ἰσαρίθμους, καθ' οὓς ἐπολιτεύσατο ἡ ψυχή. ὧν πρῶτός ἐστιν ὁ ἐν τῷ παραδείσῳ τῷ Ἀδὰμ
105 ἐνταλθεὶς καὶ τῶν μὲν κελεύων ἅπτεσθαι τῶν ἐν τῇ Ἐδὲμ πεφυτευμένων φυτῶν, τοῦ δὲ ἀπέχεσθαι· δεύτερος δὲ ὁ μετὰ τὴν παράβασιν ἐπὶ τῇ κατακρίσει τούτῳ δοθείς, ὁ περὶ τῆς συζυγίας καὶ τῆς τεκνώσεως· τρίτος ὁ μετὰ τὸν κατακλυσμὸν τῷ Νῶε ἀφορισθείς· καὶ τέταρτος ὁ τῷ Ἀβραὰμ περὶ τῆς
110 περιτομῆς ἀφοσιωθείς· πέμπτος ὁ φυσικός· ἕκτος ὁ Μωσαϊκός· καὶ ἕβδομος ὁ τῆς χάριτος. κατὰ τούτους γὰρ τοὺς νόμους τὸ γένος τῶν ἀνθρώπων ἐπολιτεύσαντό τε καὶ πολιτευόμεθα. ὥσπερ οὖν διαποροῦντες πρὸς τὸν πνευματικὸν νόμον οἱ λογισμοί, μᾶλλον δὲ κακούργως τούτου πειρώμενοι, διαπυνθά-
115 νονται ὡς 'ἆρα μετὰ τὴν ἀνάστασιν ὑπὸ νόμον ἡ ψυχὴ ἔσται ἢ ἀνόμως βιώσεται;' εἰ μὲν γὰρ ἀνόμως, αὐτόθεν, φασίν, ὁ ἔλεγχος, πάντα γὰρ δράσει τὰ χαλεπώτατα· εἰ δὲ νόμῳ στοιχήσει, ἢ ὑπὸ πᾶσιν ἔσται τοῖς ζ′ ἢ ὑφ' ἑνὶ τούτων. ἀλλ' εἰ μὲν πᾶσι, κυρίοις δουλεύσει πολλοῖς, κύριος γὰρ ὁ νόμος τοῦ νο-
120 μοθετουμένου· εἰ δὲ ἑνὶ τῶν ἀπηριθμημένων, καὶ οὕτως ἕξει τὸν ἐφεστηκότα, καὶ πάλιν ἢ περὶ καρπῶν ἀμφισβητήσει, ἢ περὶ συζυγίας καὶ ἀγαμίας, ἢ περὶ διαιρέσεως οἰκουμένης γῆς, ἢ περὶ ἀκροβυστίας καὶ περιτομῆς, ἢ περὶ ἀδιαφορίας βρωμάτων καὶ ταλαιπώρου ζωῆς, ἢ ὅλως τῶν μὲν ἀφέξεται,
125 τῶν δὲ ἀνθέξεται, τῷ αὐτοκινήτῳ ῥέπουσα ἐφ' ἑκάτερα καὶ τοῖς αὐτεξουσίοις βουλήμασι. ὅθεν πρὸς τὴν τοιαύτην ἀτοπωτάτην ἀνθυπαντῶν ὁ πνευματικὸς νόμος ἐρώτησίν τε καὶ διαπόρησιν οὔτε ἄνομον ποιεῖται τὴν ἐκεῖσε διαγωγὴν τῆς ψυχῆς

104–106 Gen. 2,16–17 || **106–108** ibid. 3,15–19 || **108–109** ibid. 9,15–17 || **109–110** ibid. 17,9–14

104–105 ἐνταλθεὶς τῷ ἀδὰμ trp. **m** || **111** καὶ om. **m** | γὰρ τούτους trp. **m** || **113** διαλογισμοὶ **m** || **114** δὲ om. **c** || **115** ἔσται om. **c** || **116** φησὶν **m** || **119** νομοθετημένου **m** || **120** ἐφέξει **m** || **121** διαμφισβητήσει **m** || **122** περὶ[1] om. **c** || **125–126** καὶ – βουλήμασι om. **m** || **127** ἀπαντῶν **m**

οὔτε τινὶ τῶν κατηριθμημένων νόμων συνάπτει. πᾶσα γὰρ ταλαιπωρία καὶ συντονία καὶ ἄσκησις ἀρετῶν καὶ νομικῶν 130 ἐντολῶν τήρησις τῷ παρόντι βίῳ συγκαταλήγουσιν, ἐκεῖσε δὲ οὔτε τινὶ νόμῳ συναφθείημεν οὔτ' ἀνόμως ζησοίμεθα, ἀλλ' ἀσχέτοις πρὸς τὰ αἰσθητὰ διαγωγαῖς καὶ ἀνεπιστρόφῳ πρὸς τὸν κύριον ὄμματι τῷ θείῳ ἐκείνῳ αἰῶνι συνεκταθείημεν.

Τοιαύτη μὲν ἡ περὶ τοῦ θείου ῥήματος τούτου ἀναγωγή. 135 τὸ δὲ τῆς πολυγονίας ἢ ἀτεκνώσεως ζήτημα, καὶ ὅπως τὴν μὲν ἐν μεγάλοις εἶχεν ὁ Μωσαϊκὸς νόμος, τὴν δ' ἠθέτει καὶ ἀπεπέμπετο, οὕτως ἐπιλυσόμεθα, ὅτι συμβολικῶς διὰ μὲν τῆς ἀτεκνώσεως τὴν ἄγονον πρὸς τὰς ἀρετὰς ψυχὴν αἰνίττεται, διὰ δὲ τῆς πολυπαιδίας τὸν εὐτεκνότατον τόκον τοῦ νοεροῦ 140 σπέρματος. διὰ τοῦτο τοιγαροῦν οἱ τὸν κατὰ χάριν νόμον ἡμεῖς δεξάμενοι οὔτε ἀτεκνοῦντες σωματικῶς μισούμεθα οὔτε εὐτεκνοῦντες μετὰ τῶν ἐπαινουμένων ταττόμεθα, ἀλλ' εἰ μὲν καρπογονήσομεν ἀρετάς, τοῖς προβάτοις κατὰ τὸν Ματθαῖον καταριθμούμεθα καὶ τῆς δεξιᾶς τυγχάνομεν στάσεως, εἰ δ' 145 ἄτοκοι τῶν καλῶν ἐσόμεθα, τοῖς ἐρίφοις συγκαταλεγόμεθα καὶ τὴν ἀριστερὰν μερίδα κατακρινόμεθα. ἄτοπος τοίνυν καὶ Ἑρμῆς ὁ Τρισμέγιστος πρὸς τὸν υἱὸν αὐτοῦ Ἀσκληπιὸν τάδε διαλεγόμενος· 'μὴ συνοικήσῃς ἀνδρὶ ἀνήρ, ἣν ἄγονος ᾖ· οὗτος γὰρ τεθνηκὼς ἐν βορβόρῳ κείσεται.' ἐγὼ δὲ τοῦτο μὲν 150 οὐκ ἂν ὑμῖν φαίην, ἐκεῖνο δέ, μὴ συμβιοῦν πονηροῖς καὶ κιναίδοις ἀνδράσι, κἂν πολυγονώτατοι εἶεν, συνομιλεῖν δὲ σπουδαίοις καὶ τελείοις τὴν ἀρετήν, κἂν πάντων τυγχάνοιεν ἀγονώτατοι.

145–148 Matth. 25,32–33 ‖ **149–150** cf. Hermes Trismeg. II 16

129 ἀπηριθμημένων **m** | συνάπτει **c**: φυλάττει **m** | γὰρ om. **m** ‖ **130** συντομία καὶ ταλαιπορία **m** | συνάσκησις **m** ‖ **131** συγκαταλύεται **m** ‖ **133** ἀσχέτοις **m**: ἐσχάτοις **c** ‖ **134** αἵματι, mg. ὄμματι, **m** | συνεκτανθείημεν **c** ‖ **135** Τοιαύτη – **138** ἀπεπέμπετο **c**: περὶ δὲ πολυγονίας καὶ ἀτεκνώσεως **m** ‖ **138** συμβολικῶς om. **m** ‖ **139** ὑπηνίττετο **m** ‖ **141** διὰ – **153** ἀγονώτατοι **c**: διὸ καὶ τὴν μὲν ἐν μεγάλοις εἶχεν ὁ μωσαικὸς νόμος, τὴν δὲ ἠθέτει **m** (cf. 137–138)

20

Τί ἐστι τὸ ξύλον τῆς ζωῆς καὶ τὸ ξύλον τῆς γνώσεως;

Περὶ τοῦ ξύλου τῆς ζωῆς καὶ τοῦ ξύλου τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ πονηροῦ ἣν καὶ αὐτὸς ὑπείληφα δόξαν, ἰδού σοι ταύτην ἐκτίθεμαι.

5 Ἐγὼ γὰρ οὐχ ὑπεραίρων τὸ τῆς ζωῆς ξύλον ἀτιμάζω παντάπασι θάτερον διὰ τὴν τοῦ πονηροῦ πρὸς τὸ καλὸν παρεμπλοκήν· ἀλλὰ δύο ζωὰς ἐπιστάμενος, τὴν μὲν ἐνθεεστάτην καὶ νοεράν, μᾶλλον δὲ ὑπὲρ τοῦτο, καὶ τοσοῦτον τῷ κρείττονι προσχωρήσασαν, ὥστε ἀγνώστως ὁρᾶν τὸ γνωστὸν καὶ 10 μηδὲ κατὰ βραχὺ διακρίνεσθαι μηδὲ εἰδέναι, ὅτι τοῦτο μέν ἐστι τὸ ὑπερκείμενον ἀγαθόν, ἕτερον δὲ τὸ παρ' ἐκεῖνο ἔλαττον, ἀλλὰ μυστικῶς καὶ ἀρρήτως ζῶσαν τὴν ἐν Χριστῷ κεκρυμμένην ζωὴν καὶ τὸν θεὸν καθορῶσαν ἄνευ προσνεύσεως ἢ διακρίσεως, τὴν δὲ δευτέραν καὶ μετ' ἐκείνην πολύ, ἐν 15 λόγῳ φρονήσεως ἑστῶσαν καὶ διακρίνουσαν ἀπὸ τῶν βελτίστων τὰ χείρονα, τὴν προτέραν μὲν αὐτὸ τὸ τῆς ζωῆς ξύλον εἶναι τίθεμαι, τὴν δὲ δευτέραν τὸ τῆς τῶν ἐναντίων γνώσεως. οὐ γὰρ εἴ τι γνῶσιν ἔχει τῶν ἐναντίων, ἐν τοῖς ἐναντίοις ἐστίν· οὕτω γὰρ ἄν τις καὶ τὴν ψυχὴν ἀτιμάσειεν καὶ αὐτὸν 20 τὸν πολύτιμον νοῦν τὰ ἐναντία γινώσκοντα.

Καὶ εἴ γέ τις βούλοιτο, σοφίαν μὲν καλείτω τὸ τῆς ζωῆς ξύλον, φρόνησιν δὲ τὸ τῆς γνώσεως ξύλον· ἧς οὐκ ἔδει αὐτίκα τὸν γενάρχην μεταλαβεῖν, οὔπω 'γεγυμνασμένον τὰ αἰσθητήρια', ἀλλὰ κατὰ μικρὸν τῆς τοιαύτης μετασχεῖν γνώ- 25 σεως, ὁπηνίκα ἀβλαβὴς ἔμελλεν ἔσεσθαι ἀπὸ τῆς τῶν ἐναντίων γνώσεως, μὴ συναπαχθεὶς τῷ χείρονι μέρει, εἶθ' οὕτως ἀμιγὲς τὸ καλὸν προσλαβόμενον ἔδει τῆς ζωῆς μεταλήψεσ-

1 Gen. 2,9 ‖ **6–7** cf. supra 9,22–23 ‖ **12–13** cf. Col. 3,3 ‖ **21–22** cf. supra 9,7–9 ‖ **24–25** Hebr. 5,14; cf. Psell. Theol. I, opusc. 95,63

20 m 308[r] ‖ ined. ‖ **6** τὸ καλοῦ **m**: corr. Wk.

θαι. ὁ δὲ ἀγυμνάστως τὰ ἐναντία προσενεγκάμενος τῷ χείρονι περιπέπτωκε κἀντεῦθεν ἀπείργεται τῆς ζωῆς, ὡς μήτε χωρῶν ταύτην, κἂν εἰ κεχώρηκε, τῷ πονηρῷ τὸ ἀθάνατον 30 προσκτησάμενος.

Εἰς τοῦτο γοῦν τὰ τοῦ μεγάλου πατρὸς Γρηγορίου πρὸς τὸν τόπον τείνει {τὰ} νοήματα, κάλλιον μέντοι γε ἐκείνῳ ἢ ἐμοὶ τὰ ἐνθυμήματα ἀπεξείργασται.

21

ʻΤοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μουʼ

Ζητημάτων ἀληθεστέρων, ἀλλʼ οὐ περιεργοτέρων νοημάτων λύσεις ἐπηγγειλάμην σοι· ἵνα δὲ μηδὲ τούτοις σοι ὦμεν ἁλώσιμοι, περιεργασόμεθά σοι καὶ αὐτοὶ τὴν τοῦ ἐπιζητουμένου 5 ἐπίλυσιν.

Ἠρώτησας γάρ, ὅτῳ δήποτε λόγῳ τὴν Εὔαν ἰδὼν ὁ Ἀδὰμ ἐκ τῆς ἐκείνου πλευρᾶς λεληθότως ἀναβλαστήσασαν καὶ θαυμάσας τὸ πλάσμα, ʻτοῦτοʼ ἔφη ʻνῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μουʼ, οὐχ ὁμοίως ἀποδιδούς, 10 ἀλλʼ ἓν μὲν ὀστοῦν ἐκ πολλῶν ὀστῶν, μίαν δὲ σάρκα ἐκ μιᾶς σαρκός, οὐ δέον οὕτως εἰπεῖν, ἀλλὰ ʻτοῦτο νῦν ὀστοῦν ἐκ τοῦ ὀστοῦ μου καὶ σὰρξ ἐκ τῆς σαρκός μουʼ.

Ἀναστρέψας οὖν τὴν παροιμίαν, ʻπρὸς Κρῆτα Κρητίσωʼ καὶ τὸ σὸν διαδράσω κρησφύγετον· ὅρα γάρ, ὥσπερ μὲν γέ- 15 νος τοῦ τε παρʼ ἡμῖν ἄρρενος καὶ τοῦ θήλεος, οὕτω φύσις μία

28–31 cf. supra 9,25–27; Greg. Naz. Or. 38, 12 (Moreschini) ad fin. || **32** Greg. Naz. ibid.
1–2 Gen. 2,23 || **14** CPG I 297 (Diogenian. 7,65)

33 τὰ secl. Wk. | κάλιον **m**
21 m 308[r–v] || ined. || **14** κρητήσω **m** || **15** κρυσφύγετον **m**

καὶ ψυχῆς χαρακτὴρ ὁ αὐτός. ἀλλ' ἔχει τι τὸ ἄρρεν πρὸς τὸ θῆλυ διάφορον· οὔ φημι νῦν τὴν κατὰ σῶμα διοργάνωσιν, ἀλλὰ τὴν τῆς ψυχῆς ὡς ἐπὶ τὸ πλεῖστον στερρότητα. καὶ
20 ἐπειδὴ τριπλεκές ἐστι τὸ ἡμέτερον σῶμα, ἐξ αἱμάτων καὶ σαρκῶν καὶ ὀστέων συγκείμενον, καὶ ἡ μὲν σάρξ, ὥσπερ τινὲς τῶν ἄγαν ὑψηλῶν ἐξειλήφασι, σύμβολόν ἐστι τῆς ἠθικῆς ἀρετῆς, τὸ δὲ αἷμα τῆς φυσικῆς, τὸ δὲ ὀστοῦν τῆς λογικωτέρας καὶ κρείττονος, καὶ τῶν μὲν ἄλλων ἀρετῶν ἐπίσης ἡμῖν κοι-
25 νωνεῖ τὸ θῆλυ γένος διὰ τὴν εὐκολωτέραν φύσιν τῶν ἕξεων, τῆς δὲ λογικῆς ἀρετῆς, ἧς ἀνάλογον τὸ ὀστέον ἐστί, κατὰ τὸ ἔλαττόν ἐστι ταῖς θηλείαις ἡ μετοχή, ὡς ἡμᾶς μὲν ὅσον ἐπὶ τούτῳ τῷ μέρει ἐκ πολλῶν συγκεῖσθαι ὀστέων, στερροτέρων φημὶ καὶ ἀκριβεστέρων θεωρημάτων, τὰς δὲ θηλείας τρόπον
30 τινὰ ἐξ ἑνὸς διὰ τὴν εἰς ἔλαττον τοῦ θεωρητικοῦ λόγου μετάδοσιν, διὰ τοῦτό φησιν ὁ Ἀδὰμ πρὸς τὴν γυναῖκα ἰδών, ὅτι 'αὕτη ὀστοῦν ἐστιν ἐκ τῶν ἐμῶν ὀστέων', ὅπερ ἐστίν, οὐκ ἐπίσης μοι κοινωνεῖ τῶν εὐτόνων καὶ ἀνδρικῶν λογισμῶν, ἀλλὰ μέρος τι τούτων ἔχει ἀπολαβοῦσα· 'σὰρξ' δὲ εἴρηκεν 'ἐκ τῆς
35 σαρκός μου', ὅτι κατά γε τὴν ἠθικὴν ἀρετὴν ἀδιάφορόν ἐστι τὸ θῆλυ τῷ ἄρρενι.

22

Εἰς τὸ 'Ἀδάμ, ποῦ εἶ;'

Οὐκ ἀγνοοῦντός ἐστι τὸ πυνθάνεσθαι 'Ἀδάμ, ποῦ εἶ;' παρὰ θεοῦ εἰρημένον (πῶς γὰρ ἂν καὶ ἠγνόησε τὴν τοῦ πρωτοπλάστου παράβασιν ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν;), ἀλλ'

1 Gen. 3,9 || 4 Sus. 35a

18 διαφορὰν **m**: corr. Wk. || **29** θήλειας **m** || **36** τῷ θήλει **m**: corr. Wk.

22 m 311r || ined. || **2** οὐ **m**

οἷον ἐπονειδίζοντος καὶ ἐπιμεμφομένου τὴν πτῶσιν τῷ πεπον- 5
θότι, ὥσπερ ἐπιτωθάζοντος αὐτοῦ ἠρέμα τοῦ λόγου· οἵαν
ἀνθ' οἵας ἠλλάξω; ποῖ δὴ καὶ πόθεν, ἀντὶ τοῦ τοῖς κρείττοσι
συναριθμεῖσθαι γένεσι, τοῖς χείροσιν ὑπέταξας σεαυτόν; ποῦ
εἶ, ὁ τῆς κτίσεως βασιλεύς, ὑποτεταγμένος τοῖς κτίσμασιν, ὁ
γενναῖος ὁπλίτης, τοῖς πολεμίοις αἰχμάλωτος, ὁ τὴν πρός με 10
παρουσίαν καταπλουτήσας, ὑπότρομος καὶ περιδεὴς καὶ
κρυπτόμενος;

Οὐδὲν δὲ χεῖρον εἰπεῖν, ὅτι ἠγνόηται τῷ θεῷ ὁ Ἀδάμ· ὥσ-
περ γὰρ οἱ εὐδοκιμοῦντες ταῖς ἀρεταῖς καὶ τοῖς κατορθώμα-
σιν ἄξιοι τῆς θείας λογίζονται γνώσεως, οὕτως οἱ τὸ κατ' εἰ- 15
κόνα παραχαράξαντες καὶ τὴν τῆς ψυχῆς μορφὴν ἀλλοι-
ώσαντες ἀγνοίας αἴτιοι γίνονται τῷ θεῷ. περιπατοῦντος οὖν
ἀκούει τοῦ θεοῦ· ὥσπερ γὰρ πλαγιάζει τοῖς πλαγιάζουσιν,
οὕτως ἕστηκε τοῖς ἑστηκόσιν, κεκίνηται δὲ καὶ περιπατεῖ τοῖς
μετακινηθεῖσι τῆς θείας ὁδοῦ. διὰ ταῦτα οὖν ἴσως καὶ ἀεὶ κι- 20
νουμένου αὐτοῦ τὰ ὀπίσθια ἑώρακε Μωυσῆς, ἑστηκότος δὲ
τὸ πρόσωπον ἀτενίζει.

23

Εἰς τὸ 'ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν'

Ἀνεννόητον ὄντα με τοῦ ζητήματος θαυμασίως εἰς ἐπιστα-
τικωτέραν συνήγαγες σύνεσιν. ἐζήτησας γάρ, ἐν τῇ κοσμο-
ποιίᾳ κειμένου 'ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν 5

17–18 Gen. 3,8 || **20–22** cf. Exod. 33,23
1–2 Gen. 1,26

6 an αὐτῷ vel -ὸν leg.? || **8** συνηριθμ.. **m** || **20** fort. ἀεικινουμένου scr. **m**
23 **m** 311[r–v] || ined. || **3** Ἀνενόητον **m**

καὶ καθ' ὁμοίωσιν', ⟨τί⟩ τὸ μὲν τῶν συμβουλευομένων εἴρηται, τὸ δὲ σεσίγηται. 'καὶ ἐποίησε' γάρ φησιν 'ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν'· ἀπορεῖς οὖν, διὰ τί μὴ καθ' ὁμοίωσιν κατὰ τὴν κοινὴν τῶν προσώπων γνώ-
10 μην καὶ συμβουλήν.

Ἵνα γοῦν μὴ {τις} πολλοὺς περὶ τοῦδε τοῦ θείου λόγου ⟨λόγους⟩ κινήσω, τοσοῦτον ἐρῶ, ὅτι ὥσπερ ἡ εἰκὼν ἔλαττόν ἐστι {τοῦ} τῆς ὁμοιώσεως, οὕτω καὶ ⟨τὸ⟩ κατ' εἰκόνα τοῦ καθ' ὁμοίωσιν. ἐν μὲν οὖν τῷ ἐνεστῶτι βίῳ, κἂν εἰς ἄκραν
15 φθάσωμεν τῆς θεοειδοῦς τελειώσεως, κατ' εἰκόνα γινόμεθα τοῦ θεοῦ, ἐν δὲ τῷ μέλλοντι κατὰ πρόσωπον αὐτῷ στάντες τὸ καθ' ὁμοίωσιν εἶδος ἀπολαμβάνομεν. ἄμφω μὲν οὖν ἡ τριὰς τῷ ἀνθρώπῳ δεδώρηται, τὸ μὲν κατὰ ⟨τὴν⟩ ἐφεστῶσαν ψυχογονίαν, τὸ δὲ κατὰ τὴν μέλλουσαν θεοποιίαν. ἀλλ'
20 ὅ γε πληρῶν τὸ πατρικὸν βούλημα υἱὸς τὸ μὲν ὡς μέλλον ὑπερέθετο, τὸ δὲ ὡς ἀναγκαῖον καὶ τῷ παρόντι καιρῷ χρησιμώτατον πεποίηκεν ἄριστα, καὶ τῷ θεῷ τὸν ἄνθρωπον ἀπεικόνισεν.

Καθ' ἑτέραν δὲ ἐκδοχὴν τὸ μὲν κατ' εἰκόνα τὰς ἐπιτη-
25 δείους δυνάμεις πρὸς ἀρετῆς ἐργασίαν τῆς ψυχῆς παριστᾷ, τὸ δὲ καθ' ὁμοίωσιν αὐτὴν τὴν ἐνεργουμένην σημαίνει δύναμιν.

7–8 ibid. 1,27 ‖ **24–27** cf. supra 4,10–14

11 τις secl. Wk. ‖ **12** λόγους add. Wk. ‖ **13** τοῦ secl. Wk. | τὸ add. Wk. ‖ **19** ψυχαγονίαν, -ο- ex -ω-, **m**: corr. Wk. ‖ **22** ἀπεικόνισεν Du.: ἐπ- **m**

24

Εἰς τὸ ‘πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς’

Τὴν ἀναβαίνουσαν ἐκ τῆς γῆς πηγὴν καὶ ποτίζουσαν πᾶν τὸ πρόσωπον τῆς γῆς εἴ τις ἀλληγορεῖν βούλοιτο, μετενέγκῃ ἂν εἰς τὸ κατεσπαρμένον τῇ ἡμετέρᾳ φύσει παρὰ τοῦ θεοῦ ἀγαθόν, ὃ τέως μὲν ἐμποδίζεται ἀνιέναι ἐπιπροσθούσης αὐτῷ 5 τῆς γενέσεως, εἶθ' ὕστερον παντὸς ἀφαιρεθέντος καλύμματος ἄνεισι ⟨ὥσ⟩περ ἐκ βάθους καὶ τὸ πρόσωπον καταρδεύει τῆς γῆς, ἵνα κατὰ πρόσωπον ὁρῴη θεόν.

Ἀπὸ τῆς τοιαύτης πηγῆς καὶ ὁ μέγας ἐποχετεύεται ποταμός, ὁ γενικὸς τῶν ἀρετῶν λόγος, καὶ οἱ τέσσαρες ἐκεῖθεν 10 διῄρηνται ποταμοί, ὁ τῆς φρονήσεως, ὁ τῆς σωφροσύνης, ὁ τῆς ἀνδρείας καὶ ὁ τῆς δικαιοσύνης. ὁ μὲν γὰρ Φισών, ‘ἀλλοίωσις γλώσσης’ ἑρμηνευόμενος, τὴν τῆς φρονήσεως ἕξιν ἀπεικονίζεται καὶ κυκλοῖ πᾶσαν τὴν γῆν Εὐιλὰτ ἤτοι τὴν ὠδίνουσαν καὶ πονοῦσαν ψυχήν, οὕτω γὰρ ἡ λέξις ἐξελληνίζεται· 15 ἔνθα ἐστὶ τὸ καλὸν χρυσίον καὶ ὁ νοῦς, καὶ ὁ ἄνθραξ, ὁ πύρινος λόγος, ὁ πολυτίμητος τῷ ὄντι λίθος, καὶ ὁ ἕτερος λίθος ὁ πράσινος, ἡ ζῶσα καὶ χλοερὰ τῶν λοιπῶν τῆς ψυχῆς δυνάμεων δύναμις. ὁ δὲ Γεὼν ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας τὸ βλύσμα τῆς σωφροσύνης ἐστί, τὴν μὲν φαινομένην τῆς 20 ἡδονῆς χλόην καταφλεγούσης, ἀγῶσι δὲ πνευματικοῖς γυμναζούσης τὸν ἀθλητὴν ὄμβροις τε καταμελαινούσης καὶ θάλπεσιν. ὁ δὲ κατέναντι Ἀσσυρίων διαρρέων Τίγρις σύμβολον τῆς ἀνδρείας ἐστίν. ὁ δέ γε τέταρτος ὁ Εὐφράτης, ᾧ μηδεμία μερὶς ἀναγέγραπται γῆς, ὑπόκειται δὲ ξύμπασα, ἄντικρυς ἡ δι- 25 καιοσύνη ἐστίν, ἡ καθ' ἑαυτὴν περιγραφομένη καὶ πάσαις ταῖς ἀρεταῖς ἐπιβάλλουσα.

Καὶ πλείονα δ' ἄν τις ἕτερα εἰς τὸν τόπον ἐπινοήσειεν.

1 Gen. 2,6 ‖ **9–12** cf. Philo Leg. alleg. I 63 ‖ **12–13** ibid. 74 ‖ **14–15** ὠδίνουσαν, ψυχήν] ibid. 74 et 76

24 **m** 311ᵛ–312ʳ ‖ ined. ‖ **7** ἄνεισι Wk.: ἀνίεισι **m** | ὥσπερ suppl. Du. ‖ **23** ἀσυρίων **m** ‖ **25** dist. post ἄντικρυς?

25

Εἰς τὸ 'εὔχεσθε μὴ γενέσθαι τὴν φυγὴν ὑμῶν ἐν χειμῶνι μηδὲ ἐν σαββάτῳ'

Καὶ κατὰ τὴν προκειμένην ἔννοιαν πολέμιόν ἐστι τοῖς Ἑβραίοις πολιορκουμένοις τὸ σάββατον, ἐκεχειρίαν τε ἄγουσι
5 καὶ ἀνταίρειν μὴ δυναμένοις διὰ τὴν νομικὴν παρατήρησιν. κατὰ δὲ τὴν ἀλληγορίαν καὶ μάλιστα δεινὸν τοῖς ἐν τῷ νοητῷ πολέμῳ φεύγουσιν ἡ ἀπραξία τῶν ἀρετῶν, ὥσπερ δὴ καὶ χειμῶνος παγχάλεπον ἡ τοιαύτη φυγή· ἔστι δὲ ὁ χειμὼν σύμβολον τῆς τῶν πονηρῶν πνευμάτων ἐπικρατείας καὶ τῆς
10 τῶν τοιούτων νεφῶν συρρήξεως τοῦ τε ἀπροσδοκήτου λαίλαπος καὶ τῆς ἰσχυρᾶς καταιγίδος.

Καὶ αἱ ἐν γαστρὶ δὲ ἔχουσαι καὶ θηλάζουσαι οὐκ ἂν εὐχερῶς ἀποφύγοιεν τοὺς διώκοντας· αἱ μὲν γὰρ τῷ φυσικῷ φόρτῳ βαρούμεναι, αἱ δὲ διὰ μάλης τὰ βρέφη βαστάζουσαι
15 καὶ τὴν θηλὴν τούτοις διὰ τὴν φιλοστοργίαν προτείνουσαι. καὶ ὅσαι δὲ τῶν ψυχῶν ⟨οὐ⟩ πάνυ τοι θαρροῦσι τὴν θεοσέβειαν οὐδὲ παρρησιάζονται τὴν ἀλήθειαν, ἀλλ' ἢ μόνον ἐγκυμονοῦσι μὲν τὸν πρὸς τὸν θεὸν ἔρωτα, οὐκ ἀποτίκτουσι δέ, καὶ αἱ τεκοῦσαι μὲν ἴσως ὃν ὠδινήσαντο πόθον, ἔτι δὲ ἁπα-
20 λὸν τοῦτον καὶ νεογνὸν περιφέρουσαι καὶ οἷον θηλάζουσαι γάλακτι, τῆς ἀντικειμένης καταλαβούσης στρατιᾶς καὶ τῆς νοητῆς πολιορκουμένης Ἱερουσαλὴμ καὶ διαλυομένης τῆς πόλεως ἁλώσονται {γὰρ} πάντως καὶ τῆς πολεμίας χειρὸς ἔργον γενήσονται.

25 Εἰ δὲ καὶ τὸ τῆς ἐρημώσεως βδέλυγμα ἐν τόπῳ σταίη ἁγίῳ καὶ ὁ ἀντικείμενος δαίμων ὁ τὴν ἡμετέραν πόλιν ἐξερημώσας

1–2 Matth. 24,20 ‖ **8–11** cf. supra 17,126–137 ‖ **12** Matth. 24,19 ‖ **25** ibid. 24,15

25 m 315r–v ‖ ined. ‖ **5** ἀντάρειν **m**: corr. Wk. ‖ **16** οὐ Wk. ‖ **23** γὰρ secl. Wk.

ἀντὶ θεοῦ τῷ ἱερῷ ἡμῶν ἐγκαθιδρύει νοΐ, τηνικαῦτα ὁ ἀναγινώσκων τοὺς θειοτέρους λόγους νοείτω, ὡς ἐξηφάνισται ἡμῖν παντάπασι τὰ τῆς μητροπόλεως καὶ οὐκ ἔστιν ὁ σῴζων οὐδὲ ὁ ῥυόμενος. 30

26

Εἰς τὸ 'ἀγάθυνον, κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ'

Ἱερουσαλὴμ πόλις μὲν ἦν ἐπ' ἐδάφους κειμένη, τοῖς εἰσιέναι βουλομένοις οὐδὲν ἔχουσα πρόσαντες· ἡ δὲ Σιὼν ὄρος μετέωρον ἀγχοῦ που ὑπάρχον τῆς πόλεως. ἅτινα κατὰ ἀλληγο- 5 ρίαν Ἱερουσαλὴμ μὲν ἂν νομισθείη ἡ τοῦ καθ' ἕκαστον ἡμῶν ψυχή, Σιὼν δὲ ὁ οὐσιώδης αὐτῆς νοῦς, πρὸς ὃν τὰ κρείττονα ἐνοπτρίζοιτο. ἔστι δὲ ὁ τοιοῦτος τῇ ψυχῇ νοῦς οὐχ ὡς ὀφθαλμός, καθάπερ τινὲς ὑπέλαβον (οὐ γὰρ μερικώτερος ἐκεῖνος, ἀλλὰ καθολικώτερος), ἀτεχνῶς δὲ λύχνος φωταυγής, ὁδηγῶν 10 τὴν ψυχὴν πρὸς τὸ ἀκήρατον φῶς.

Ἀλλ' ἡ μὲν ψυχὴ τῷ τοιούτῳ νῷ τελεῖταί τε καὶ καθαίρεται, οὗτος δὲ ὁ νοῦς τῆς ὑπερφυοῦς τοῦ θεοῦ μετασχὼν ἀγαθότητος ἀγαθύνεται. καὶ οὐκ ἂν κατευθυνθείη ψυχὴ παρὰ νοῦ μὴ τούτου ἀγαθυνομένου παρὰ τοῦ θεοῦ. 15

Πληροῖ γοῦν τινα τῇ ψυχῇ ὁ νοῦς χρείαν οἰκοδομῆς, ὡς ἐτροπολόγησεν ὁ Δαυίδ, καὶ εἰ μὴ λάβῃ οὗτος τὴν τοῦ οἰκοδομεῖν ἐπιστήμην παρὰ θεοῦ, κατέστραπται τὰ τῆς ψυχῆς

27–28 ibid. ‖ **29–30** cf. Ps. 70,11
1–2 Ps. 50,20 ‖ **8–9** cf. Psell. Phil. min. II, opusc. 21 ‖ **10–11** cf. ibid., ll. 14–15

26 m 315ᵛ ‖ ined. ‖ **1** οἰκοδομηθείτω **m** ‖ **5** ἀληγορίαν **m** ‖ **6** ἕκαστον ex ἑκάστου **m** ‖ **12** fort. τελειοῦται legendum ‖ **17** δαβίδ **m**

τείχη, ἅπερ εἰσὶν αἱ τῶν ἀρετῶν περικυκλοῦσαι ταύτην περι-
20 οχαί. ἀγαθυνόμενος δὲ οὗτος καὶ τὴν ἐπιστημονικὴν ἕξιν
δεχόμενος ἀνοικοδομεῖ παραυτίκα τὴν Ἱερουσαλὴμ καὶ περι-
φράγνυσι τεχνικώτατα, τὰ μὲν τείχεσιν, τὰ δὲ χαρακώμασιν
ἢ περισταυρώσεσιν, ὡς εἰπεῖν.
Τηνικαῦτα οὖν καὶ ἡ τῆς 'δικαιοσύνης θυσία' προσάγεται
25 τῷ θεῷ, 'ἀναφέρεταί' τε αὐτῷ ἡ σύμπασα φύσις καὶ ὡς ἀκρι-
βῶς εἰπεῖν 'ὁλοκαύτωμα' γίνεται ὁ ἄνθρωπος τῷ θεῷ.

27

Εἰς τὸ ῥητὸν τοῦ θεολόγου πατρὸς Γρηγορίου, 'μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη'

Πᾶν τὸ κατὰ φύσιν κινούμενον δι' αἰτίαν πάντως κινεῖται·
καὶ πᾶν δὲ τὸ δι' αἰτίαν κινούμενον δι' αἰτίαν πάντως καὶ
5 ἔστι· πᾶν δὲ τὸ δι' αἰτίαν ὂν καὶ δι' αἰτίαν κινούμενον ἀρχὴν
μὲν ἔχει πάντως τοῦ εἶναι, τὴν δι' ἣν ἔστι καὶ ἐξ ἧς πρὸς τὸ
εἶναι ἤχθη αἰτίαν, τέλος δὲ τοῦ κινεῖσθαι τὴν αὐτὴν δι' ἣν κι-
νεῖται καὶ πρὸς ἣν ἐπείγεται αἰτίαν· πᾶν δὲ τὸ δι' αἰτίαν καὶ
ὂν καὶ κινούμενον καὶ γεννητὸν πάντως. εἰ δὲ τοῦ κινουμένου
10 τέλος ἐστὶν ἡ δι' ἣν κινεῖται αἰτία, ἡ αὐτὴ πάντως ἐστὶ τῇ δι'
ἣν γεγέννηται καὶ ἔστιν αἰτία. μία οὖν ἄρα πάντως τοῦ ὁπωσ-
οῦν ὄντος καὶ κινουμένου κατὰ φύσιν ὡς ἀρχὴ καὶ τέλος αἰ-
τία, δι' ἣν καὶ ἔστι καὶ κινεῖται πᾶν τὸ ὂν καὶ κινούμενον,
δραστήριος ὑπάρχουσα δύναμις, καὶ ποιεῖ τὰ γενόμενα θεο-
15 πρεπῶς καὶ προβάλλεται καὶ ἕλκει τὰ κινούμενα προνοητι-

24–26 Ps. 50,21
1–2 Greg. Naz. Or. 29,2 (ll. 13–14 Gallay)

19 ταύτης **m**: corr. Wk. || **22** τεχνικώτατον **m**: corr. Wk.
27 m 320r–321r || ined. || **7** ἤρχθη **m**: corr. Wk. || **9** γενητὸν, alterum ν s.l. pr. man. additum **m** || **14** an γεννώμενα legendum?

κῶς ὡς τέλος καὶ ὁρίζει. εἰ δὲ τὸ κινούμενον καὶ γεννητὸν δι' αἰτίαν ἔστι τε καὶ κινεῖται καὶ γεγέννηται, πᾶν ὃ μὴ δι' αἰτίαν ἐστὶν οὐδὲ ποιητόν ἐστιν οὐδὲ κινητὸν δηλονότι· οὐ γὰρ κινεῖται τὸ παντάπασιν μὴ ἔχον τοῦ εἶναι αἰτίαν. εἰ δὲ τὸ ἀναίτιον πάντως καὶ ἀκίνητον, ἀκίνητον ἄρα τὸ θεῖον ὡς τοῦ 20 εἶναι μηδεμίαν ἔχον αἰτίαν καὶ πάντων τῶν ὄντων ὑπάρχον αἰτία.

Πῶς οὖν, ἴσως ἐρεῖ τις, ὁ θαυμαστὸς οὗτος διδάσκαλος κινούμενον εἰσάγει τὸ θεῖον τοῖς προταθεῖσι; πρὸς ὃν ἐροῦμεν, ὅτι ἐπὶ παντὸς καὶ μᾶλλον ἤδη τὸ θεῖον ἀκίνητον ὁ διδάσκα- 25 λος φρονεῖ. ἀλλ' ὥσπερ ὁ κατ' ἐπιστήμην ἑκάστης τέχνης συνεκτικὸς λόγος ἀκίνητος μένων παντάπασιν ἐφ' ἑαυτοῦ, ἵνα παραδείγματι χρήσωμαι, καθ' ἕκαστον εἶδος τῶν ὑπὸ τὴν αὐτὴν τέχνην μορφούμενος κινεῖσθαι λέγεται τῷ κινεῖν μᾶλλον καθ' ἑαυτὸν τὸ τεχνούμενον ἢ τῷ κινεῖσθαι προφαινόμενος, ἢ 30 ὡς φῶς πρὸς τὸ ὁρᾶν τὴν ὄψιν κινοῦν λέγεται κινεῖσθαι, κινητικὸν ὑπάρχον πάσης ὄψεως κυρίως ἤπερ κινητόν, οὕτω καὶ τὸ θεῖον, ἀκίνητον πάντῃ κατ' οὐσίαν καὶ φύσιν ὑπάρχον ὡς ἄπειρον καὶ ἄσχετον καὶ ἀόριστον, οἱονεί τις ἐπιστημονικὸς λόγος ἐνυπάρχων ταῖς τῶν ὄντων οὐσίαις λέγεται κινεῖσ- 35 θαι τῷ κινεῖν προνοητικῶς ἑκάστην τῶν ὄντων καθ' ὃν κινεῖσθαι πέφυκε λόγον καὶ ὡς αἴτιον πάντα τὰ κατηγορούμενα κατὰ τῶν ὧν ἐστιν αἴτιον ἀπαθῶς ἀναδεχόμενον.

Ἀμέλει τοῦτο ζητήσας ὁ θεοφάντωρ καὶ μέγας Ἀρεοπαγίτης ἅγιος Διονύσιος ἐν οἷς φησι, τί δήποτε τὸ θεῖον οἱ θεολό- 40 γοι ποτὲ μὲν ἔρωτα, ποτὲ δὲ ἀγάπην, ποτὲ δὲ ἐραστόν, ποτὲ δὲ ἀγαπητὸν ἀποκαλοῦσιν, συμπεραίνει τὸν λόγον οὑτωσὶ φάσκων, ὅτιπερ τῷ μὲν κινεῖται, τῷ δὲ κινεῖ, καὶ σαφέστερον

39–40 Ps.-Dionys. Div. nom. 712C

19 post ἔχον scr. et del. ἀρχὴν **m** ‖ **27** ἐφ' ἑαυτὸν **m**: corr. Wk. ‖ **28** χρήσωμαι] -ω- ex -ο- pr. man. **m** ‖ **30** τῷ Wk.: τὸ **m** ‖ **31** κινοῦν] -ῶν **m** ‖ **32** ᾗπερ **m**: corr. Wk. ‖ **36** τῷ Wk.: τὸ **m** | ἑκάστην] scil. οὐσίαν ‖ **39** θεοφράντωρ **m**

εἰπεῖν, ὡς μὲν ἔρως ὑπάρχον τὸ θεῖον καὶ ἀγάπη κινεῖται, ὡς
45 δὲ ἐραστὸν καὶ ἀγαπητὸν κινεῖ πρὸς ἑαυτὸ πάντα τὰ ἔρωτος
καὶ ἀγάπης δεκτικά. καὶ τρανότερον αὖθις φάναι, κινεῖται
μὲν ὡς σχέσιν ἐμποιοῦν ἔρωτος καὶ ἀγάπης τοῖς τούτων δεκ-
τικοῖς, κινεῖ δὲ ὡς ἑλκτικὸν φύσει τῆς τῶν ἐπ' αὐτὸ κινουμέ-
νων ἐφέσεως. καὶ πάλιν κινεῖ καὶ κινεῖται ὡς διψῶν τὸ διψᾶσ-
50 θαι καὶ ἐρῶν τὸ ἐρᾶσθαι καὶ ἀγαπῶν τὸ ἀγαπᾶσθαι.

Κατὰ τοῦτον τὸν τρόπον καὶ ὁ θεόφρων Γρηγόριός φησιν,
'μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη.'
κινεῖται γὰρ ἐν τῷ ταύτης δεκτικῷ νῷ, εἴτε ἀγγελικῷ εἴτε
ἀνθρωπίνῳ, δι' ἑαυτῆς καὶ ἐν αὐτῇ τὰς περὶ αὐτῆς ἐξετάσεις
55 ποιουμένη· καὶ σαφέστερον εἰπεῖν, διδάσκει αὐτὸν ἀμερίστως
ἐν τῇ πρώτῃ προσβολῇ τὸν περὶ μονάδος λόγον, ἵνα μὴ διαί-
ρεσις τῷ πρώτῳ αἰτίῳ ἐπεισαχθῇ, προβιβάζει δὲ αὐτὸν καὶ
τὴν θείαν καὶ ἀπόρρητον τούτου γονιμότητα δέξασθαι, λέ-
γουσα μυστικῶς τε καὶ κρυφίως αὐτῷ μὴ δεῖν ἄγονον εἶναι
60 πώποτε φρονεῖν τοῦτο τὸ ἀγαθὸν λόγου σοφίας ἢ ἁγιαστικῆς
δυνάμεως ὁμοουσίων τε καὶ ἐνυποστάτων, ἵνα μὴ σύνθετον ἐκ
τούτων ὑποληφθῇ τὸ θεῖον ὡς συμβεβηκότων καὶ οὐχὶ ταῦτα
ὑπάρχειν ἀεὶ πιστευθῇ.

Κινεῖσθαι οὖν ἡ θεότης λέγεται ὡς αἰτία τῆς καθ' ὃν
65 ὑπάρχει τρόπον ἐξετάσεως· ἄνευ γὰρ ἐλλάμψεως ἐπιβάλλειν
θεότητα τῶν ἀμηχάνων ἐστίν. λέγεται δὲ κινεῖσθαι πάλιν
καὶ διὰ τὴν κατὰ μέρος φανέρωσιν τοῦ περὶ αὐτῆς τελεωτέ-
ρου λόγου κατὰ τὴν ἁγίαν γραφήν, ἀπὸ τοῦ πατέρα ὁμολο-
γεῖν ἀρχομένου καὶ εἰς τὸν υἱὸν συνομολογεῖν πατρὶ προβαί-
70 νοντος καὶ πατρὶ καὶ υἱῷ συμπαραδέχεσθαι τὸ πνεῦμα τὸ
ἅγιον καὶ συμπροσκυνεῖν τοὺς διδασκάλους ἀνάγοντος
τριάδα τελείαν ἐν μονάδι τελείᾳ, ἤγουν μίαν οὐσίαν καὶ θεό-
τητα καὶ δύναμιν καὶ ἐνέργειαν ἐν τρισὶν ὑποστάσεσιν.

46 τρανώτερον **m** ‖ **48** αὐτὸ Wk.: -ῷ **m** ‖ **49–50** scr. τῷ ter? ‖ **54** αὐτῇ ex ἑαυτῇ **m** ‖ **55** ποιουμένη Wk.: -ῳ **m** ‖ **61** ὁμοούσιόν … ἐνυπόστατον **m**: corr. Wk. ‖ **63** ὑπάρχειν Wk.: -ει **m** ‖ **69** εἰς sscr. **m**

28

⟨Θ⟩αυμάσιον οἷον τὸ μέρος τοῦτο τοῦ Ἄισματος, περὶ οὗ δή με ἠρώτησας· 'τίς δώσει σε, ἀδελφιδέ μου, θηλάζοντα μαστοὺς μητρός μου; εὑροῦσά σε ἔξω καταφιλήσω σε, καί γε οὐκ ἐξουδενώσουσί με. παραλήψομαί σε καὶ εἰσάξω σε εἰς οἶκον μητρός μου καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με.' 5

Οἶμαι γὰρ ἐν τούτοις τοῖς λόγοις τὸν Σολομῶντα διὰ τῆς νύμφης προαναφωνεῖν τὸ τῆς οἰκονομίας μυστήριον. ἐπειδὴ γὰρ ὁ πατὴρ ἄνθρωπον εὐδόκησε τὸν υἱὸν γεγενῆσθαι καὶ κατὰ τὸν τῆς φύσεως λόγον νηπιάσαι τε καὶ θηλάσαι οὐ μόνον τοὺς μητρῴους μαστούς, ἀλλὰ καὶ τοὺς τῆς ἐκκλησίας 10 κρουνοὺς καὶ τὸ παρὰ τῶν σῳζομένων ἐκχεόμενον γάλα τῶν ἀρετῶν, 'τίς δώσει σε' φησὶν ἡ τετρωμένη ψυχὴ τῷ τοῦ θεοῦ ἔρωτι 'θηλάζοντα μαστοὺς μητρός μου', εἰ μή που πάντως ὁ μέγας πατήρ; ἐκεῖνος μὲν γὰρ εὐδόκησε τὴν τοῦ υἱοῦ κένωσιν, οὗτος δὲ συννηπιάσας ἡμῖν τὸ κατ' ἀρχὰς τοὺς μαστοὺς 15 τῆς ἐκκλησίας τεθήλακεν, ἥτις ἐστὶ μήτηρ ἡμῶν.

Τοῦτον δὴ καὶ εὑροῦσα ἔξω ἡ τῷ νυμφικῷ κόσμῳ κατεστεμμένη πεφίληκε· ἀπρόϊτον γὰρ ὄντα τῶν πατρικῶν κόλπων πῶς ἂν ἠδυνήθη εὑρεῖν ἢ κατασπάσασθαι; διὰ ταῦτα οὐδέ τις αὐτὴν ἐξουδένωσε τῆς πρὸς τὸν ἐρώμενον παρρη- 20 σίας.

Ἐπεὶ δὲ ἡ τῆς νύμφης μήτηρ οὐ μόνον μαστοὺς ἔχει γάλακτι βρύοντας, ἀλλὰ καὶ οἶκον ἐνδότερον καὶ ταμιεῖον ἀπόκρυφον, νῦν μέν, φησὶν ἡ νύμφη, εὑροῦσά σε ἔξω τῶν ἀδύτων ἡδέως καταφιλήσω σε, εἶτα δή σε καὶ εἰς τὸν βαθύτερον οἶ- 25 κον παραλήψομαι τῆς μητρός μου, ἐκεῖ μὲν διὰ πράξεως κατασπασαμένη σε, ἐνταῦθα δὲ παραλαβοῦσα διὰ καθάρσεως· καὶ αὖθις ἐν τῷ τελευταίῳ κοιτῶνι τῆς συλλαβούσης με ἀπο-

2–5 Cant. 8,1–2

28 v² 60ᵛ–61ʳ ‖ ed. Gautier, "Collections", p. 62 ‖ **3** καταφιλήσω scr. Gautier conferens 25: καὶ φιλήσω v²: φιλήσω LXX ‖ **22** Ἐπεὶ δὲ Wk.: ἐπειδὴ v²

κρύψομαι, ἥτις ἐστὶν ἡ νοερὰ θεωρία καὶ ἡ κεκρυμμένη τῶν
30 ἀπορρήτων μυσταγωγία.

29

⟨Ἠ⟩ρώτησας, ὡς ὁ εἰς τὸν Σολομῶντα ἐπιγεγραμμένος ψαλμὸς εἰς τὸν Χριστὸν τὴν ἀναφορὰν ἔχει τὸν εἰρηνεύσαντα τὰ διεστῶτα καὶ διαλλάξαντα καὶ ναὸν ἑαυτῷ σωματικὸν οἰκοδομήσαντα, πῶς ἂν σωθείη τὸ ‘ζήσεται καὶ δοθήσεται
5 αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας’; ζήσεσθαι γάρ φαμεν τὸ τεθνηκός, ὥσπερ τεθνήξεσθαι τὸ ζῶν. πῶς οὖν ζήσεται ὁ θεός, χορηγὸς ὢν καὶ νοῦ καὶ ζωῆς καὶ οὐσίας;

Ἢ τοῦτο αὐτὸ μᾶλλον ἐνδείκνυται τὴν ἄρρητον τοῦ λόγου πρὸς ἡμᾶς συγκατάβασιν, ὅτι κρείττων ἐκεῖνος ὢν ἢ οἷος ζῆν
10 καὶ πάσης ὑπεριδρυμένος ὑπάρξεως καὶ κινήσεως, διὰ τὴν τοῦ ἀνθρώπου πρόσληψιν τρόπον τινὰ ἐν τῷ προσλήμματι ζήσεται καὶ τῆς κατὰ τὸ ζῆν μεθέξει κινήσεως. ἄλλη μὲν γὰρ ζωὴ σώματος καὶ ἑτέρα ψυχῆς καὶ ἑτέρα τοῦ νοῦ (ζῆν γὰρ καὶ ταῦτα λέγεται) καὶ ἄλλο τι παρὰ ταῦτα αὐτὴ ἡ ἀρχοει-
15 δὴς ζωή, ἧς κατὰ μετοχὴν τἆλλα ζῆν λέγεται· ὁ δέ γε θεός, ὥσπερ οὐσίας ὑποστάτης καὶ νοῦ, οὕτω δὴ καὶ ζωῆς. οὐ τοίνυν ζῆν ἂν εἴποι τις τὸν θεόν, οὐχ ὡς ἐστερημένον ζωῆς, ἀλλ' ὡς τοῦ ζῆν κρείττονα· ἔζησε δὲ δι' ἡμᾶς, ὥσπερ καὶ ἐκοπίασε καὶ ἐπείνησε καὶ ἐδίψησε. καὶ ἐδόθη αὐτῷ ‘ἐκ τοῦ χρυ-
20 σίου τῆς Ἀραβίας’. ἀρωματοφόρος ἡ γῆ αὕτη καὶ ἀναλογίαν πρὸς τὴν ψυχὴν ἔχουσα, ἐξ ἧς ἡ τοῦ πνευματικοῦ μύρου εὐωδία ἀτμοειδῶς ἄνεισι· χρυσίον δὲ καθαρὸν τῆς τοιαύτης γῆς

4–5 Ps. 71,15 ‖ **7** νοῦς, ζωή, οὐσία] cf. Procl. e.g. Elem. th. 115 ‖ **9–10** cf. Procl. in Par. 1153,34 sq. Cousin ‖ **13–14** cf. Procl. in Tim. II 140,24–25

29 v² 61ʳ–62ʳ ‖ ed. Gautier, “Collections”, p. 63 ‖ **1** ὡς] leg. εἰ? ‖ **5 (20, 25)** ἀρραβίας v² ‖ **9** οἷος] super ὥστε per corr. scr. v²

ἡ ἀπλανὴς γνῶσις καὶ τῷ τῆς ἀληθείας χρώματι στίλβουσα, ἥτις ὥσπερ δασμός τις προσάγεται τῷ θεῷ. εἰ δὲ μὴ πᾶν τὸ χρυσίον τῆς Ἀραβίας, ἀλλὰ μέρος τι τούτου τῷ λόγῳ ἀπονε- 25 νέμηται, μὴ θαυμάσῃς· οὐ γὰρ πᾶσα γνῶσις οἰκεία μερὶς τῷ θεῷ, ἀλλ' ἡ καθαρὰ καὶ ἀκίβδηλος.

30

⟨Τ⟩ὸ 'δός μοι λύτρωσιν ὕδατος καὶ λύτρωσιν μετεώρων καὶ λύτρωσιν ταπεινῶν' σαφὲς μέν ἐστι κατὰ τὴν ἱστορίαν καὶ πρόχειρον εἰς κατάληψιν· αἰτεῖται γὰρ ἡ τοῦ Γοθονιὴλ γυνὴ τὸν πατέρα ἀπόλαυσιν ὑδρείας ὑδάτων καὶ τόπων μετεώρων τε καὶ ὑπτίων. 5

Κατὰ δέ γε ἀλληγορίαν πᾶσα ψυχὴ αἰτεῖται τὸν ἑαυτῆς πατέρα θεὸν ὡς μὲν λύτρωσιν ὕδατος τὴν ἐκ τοῦ βαπτίσματος κάθαρσιν, ὡς δὲ ἀπόλαυσιν μετεώρων {καὶ λύτρωσιν ταπεινῶν} τὴν τῶν ὑψηλοτέρων νοημάτων χάριν τε καὶ μετάδοσιν, ὡς δὲ λύτρωσιν ταπεινῶν τὴν τῶν πρακτικῶν ἀρετῶν 10 κατόρθωσιν καὶ τελείωσιν. ὁ μὲν γὰρ ἀτελέστατος ἀμφοτέρων τῶν βίων ἐκβέβληται, καὶ τοῦ ἠθικοῦ καὶ τοῦ θεωρητικοῦ· ἀλλ' οὐδὲ τὴν φύσιν τῶν ὄντων ἀνασκεπτόμενος πνευματικὴν ἔχει τὴν ἐντεῦθεν διάγνωσιν, ἀλλ' ἱστορικὴν καὶ τὸ ὅλον εἰπεῖν πλασματικήν. ὁ δὲ τὴν τῶν ὑδάτων λύτρωσιν κο- 15 μισάμενος καὶ καθαρθεὶς ἀκριβῶς τοῖς καθαρσίοις τοῦ βαπτίσματος ὕδασιν εὐθὺς μὲν θεωρὸς τῶν κρυπτῶν γίνεται καὶ θείων ἀκούει φωνῶν, αὖθις δὲ συστέλλεταί τε πρὸς ἑαυτὸν καὶ ἐπὶ τῷ θεμελίῳ τῆς πίστεως τοὺς ταπεινοτέρους πρότερον οἰκοδομεῖ λόγους ἐν τῇ ψυχῇ, καὶ αὖθις κατὰ βραχὺ 20 ὑψούμενός τε καὶ ἀναγόμενος ἐπὶ τὴν μετέωρον θεωρίαν ἵπταται.

1–2 Iudic. 1,15

30 v² 62ʳ⁻ᵛ || ed. Gautier, "Collections", pp. 63–64 || **8–9** secl. Du.

Ἡ λύτρωσις ὑδάτων ἐστὶν ἡ τῶν πονηρῶν πνευμάτων ἀποβολή, καὶ λύτρωσις μὲν ταπεινῶν ἡ τῶν ἁμαρτημάτων ἀπαλ-
25 λαγὴ ταπεινούντων ἀτεχνῶς τὴν ψυχὴν καὶ αἰχμαλωτιζόντων τῷ ἐν τοῖς μέλεσι νόμῳ, λύτρωσις δὲ ὑψηλῶν ἡ τύφου καὶ ὑπερηφανίας ἐλευθερία. ἐπεὶ δὲ καὶ τῶν πονηρῶν πνευμάτων τὰ μὲν περὶ γῆν ἀναστρέφεται, τὰ δὲ ἐν τῷ ἀέρι περιποτᾶται, ἃ δὴ καὶ ἐπουράνια ὁ ἀπόστολος κατωνόμασεν, αἰτεῖται
30 ἡ κατανενυγμένη ψυχὴ λύτρωσιν εὑρέσθαι καὶ τῶν προσγείων δαιμόνων καὶ τῶν μετεώρων καὶ ὡσανεὶ κοσμοκρατόρων, τοῦ κοσμικοῦ ἡμῶν λέγω καὶ γεώδους φρονήματος. ἀλλ' αὕτη μὲν βεβίασται ἡ ἐξήγησις, ἡ δέ γε προτέρα ἀκριβεστέρα καὶ πρὸς ἀκρίβειαν τῇ ἱστορίᾳ συμφωνοτέρα.

31

Ὥσπερεὶ δύο ζῴων τοῦ τε ἐξ ἐθνῶν λαοῦ καὶ τοῦ τῆς περιτομῆς γινώσκεται κύριος μέσος ἱστάμενος. ὅτε μὲν γὰρ τὸν Ἰσραὴλ ᾠκειώσατο μόνον, οὐ πάνυ τι σαφεστάτην τὴν οἰκείαν ἐδίδου ἐπίγνωσιν, ἀλλ' ἐν σκιαῖς καὶ συμβόλοις ἐγνώρι-
5 ζεν ἑαυτόν· ὁπηνίκα δὲ καὶ τὴν τῶν ἐθνῶν μερίδα εἰς τὴν τῆς ἐκκλησίας μάνδραν συνήγαγε καὶ μέσος ἀμφοῖν ἐγένετο τοῖν γενοῖν, τηνικαῦτα καὶ τὸν πατέρα καὶ τὸ θεῖον πνεῦμα ἐθεολόγησε καὶ τὰ κρύφια τῆς θεότητος τοῖς συνιεῖσιν ἐγύμνωσε. καὶ οὕτω δὴ προϊὼν τελεώτερον ἐπεγινώσκετο 'προκόπτων
10 ἡλικίᾳ καὶ χάριτι' καὶ τοῖς 'εἰς τὰ τέλη τῶν αἰώνων καταντήσασι' τὴν τελείαν παρεῖχε τῆς οἰκείας δόξης ἐπίγνωσιν.

25–26 cf. Rom. 7,23 || **29** 1 Cor. 15,40 || **31** κοσμοκρ.] cf. Ephes. 6,12
1–2 Habac. 3,2 || **9–10** Luc. 2,52 || **10–11** 1 Cor. 10,11

23–24 mg. notavit scriba Μαριὰμ μόνη αὕτη ῥύσεται ἰοῦ ἅπαντας μισοκάλ(ου) || **27** ἐλευθέρα v[2]: corr. Gautier
31 v[2] 62[v]–63[r] || ed. Gautier, "Collections", p. 64 || **10** καταντίσασι v[2]

Ἐπεὶ δὲ ἔδει τῷ παντὶ κόσμῳ καὶ τῆς διὰ τῶν σημείων αὐτοῦ κατὰ καιρὸν ἐπιδείξεως, παραγέγονε δὲ οὗτος, καὶ τριακοντούτης τὴν ἡλικίαν ὁ Χριστὸς ἔγνωστο, τὴν τῶν θαυμάτων ἀνοίγει πηγὴν καὶ διὰ τούτων τὴν θείαν φύσιν σαφῶς 15 ἐπιδείκνυσιν. οὐ γάρ, ὥς τινες οἴονται, καιρῶν δουλεύει φορᾷ, αἰώνων καὶ χρόνων ὑπάρχων κύριος. ἀλλ' εἰ καὶ 'κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανεν', ὥς φησιν ὁ θεῖος ἀπόστολος, καὶ αὐτὸς δὲ ὁ λόγος πρὸς τὴν μητέρα θαύματος ἀπαιτοῦσαν ἀπόδειξιν, 'οὔπω' φησὶν 'ἥκει ἡ ὥρα μου', οὐκ ἀναπτέον 20 ταῦτα τῆς ἐκ τῶν ἄστρων κινήσεως, ἀλλ' οὕτως ἑρμηνευτέον, ὅτι τοὺς προσήκοντας ἑκάστῳ πράγματι καιροὺς ἐπιστάμενος ἐν ἑκάστῳ τούτων ᾠκονόμει τὰ δέοντα.

32

Περὶ αἰῶνος

Αἰῶνος εἰκόνα τὸν χρόνον ἐπίστασο· εἰ δὲ τοῦτο, ἀντιστρέψας ὁ λόγος ἐρεῖ, χρόνου παράδειγμα τὸν αἰῶνα τίθεσο. οὐ γὰρ ἐκ ταὐτομάτου τὰ ἐνταῦθα, ἀλλ' ἀπὸ κρείττονος ῥυέντα χείρονα· γεννᾶται γὰρ ἄνωθεν ἕκαστον, τὸ καλόν, τὸ δί- 5 καιον, τὸ ἑστώς, ἡ ὁμοιότης, ἡ ἁρμονία, ἡ συμφωνία. τὰ μὲν γὰρ ἐνταῦθα οὐχ οἷα τὰ πρῶτα, ἀλλ' ἐκείνων εἰκονίσματα καὶ μιμήματα. ἐπεὶ καὶ ἡ ἀλήθεια ἐνταῦθα μὲν λόγων ἐστὶ

13–14 τριακοντ.] Luc. 3,23 ‖ **17–18** Rom. 5,6 ‖ **20** Ioann. 2,4
2 Plot. Enn. III 7,11,20 ‖ **3** cf. Plat. Tim. 38c

16 δουλεύει, οι super ει scr., v^2
32 R 118^r–119^v **N** 43^v–44^r **C** 92^r–94^r **a**[1] 27^r–31^v **v**[3] 53^v–55^r (**8** λόγων – **55** κατὰ fol. amisso om.) ‖ edd. Westerink, *De omnifaria doctrina*, pp. 102–104 (cum **RNC**); Benakis, *Φιλοσοφία*, 10–11 (1980–81) 416–419 (ex ed. Wk.) ‖ tit. **RNa**[1]: λόγος τοῦ ψελλοῦ περὶ αἰῶνος **C**: Περὶ τοῦ αἰῶνος **v**[3] ‖ **4** τοῦ post ἀπὸ add. **Na**[1]

συμφωνία, ἐκεῖσε δὲ οὔτε λόγοι οὔτε ὀνομάτων καὶ ῥημάτων
10 συζυγίαι, ἀλλ' αὐταὶ τῶν ὑποκειμένων ἐμφάσεις ἀφθέγκτως
καὶ ἀκινήτως ἑαυτοῖς συνομολογούντων καὶ τὴν ἑαυτῶν φύσιν
ἀποδεικνυόντων. ὥσπερ οὖν τἆλλα ἐκεῖθεν γεγένηται, οὕτω
δὴ καὶ ὁ χρόνος αἰῶνος ἐκπέπτωκε.

Λέγω δὲ ταῦτα οὐ τὰς Πλατωνικὰς ἰδέας παρεισάγων τῷ
15 λόγῳ, ἀλλ' εἶναι πειθόμενος κόσμον τινὰ ἄλλον ὑπὲρ ἡμᾶς τῇ
ἀιδίῳ καταστάσει κατάλληλον, ἔνθα ἡ τοῦ ἀγαθοῦ φύσις, ἡ
τοῦ καλοῦ, ἡ τῆς δικαιοσύνης αὐγή, ἡ τῆς ἀληθείας λαμπρό-
της, ἡ ὁσιότης, ἡ ξύμπασα, ἵν' οὕτως εἴποιμι, ἀρετή, οὐ νενο-
θευμένην τὴν ἰδέαν ἔχοντα, οὐκ ἐπίμικτον, ἀλλ' ἀποστίλ-
20 βοντα καὶ κάλλει καὶ μεγέθει καὶ ἀεὶ ὡσαύτως ἔχοντα καὶ
ἑστηκότα πάγιά τε καὶ ἀμετακίνητα. τὰ γὰρ ἐνταῦθα οὐκ
οἶδα εἴτε ἀπορροαὶ τῶν ἐκεῖσε εἴτε μετοχαὶ εἴθ' ὁμοιώσεις.

Ἀλλ' οὐδὲ ἐκεῖνα ἀγέννητα οὐδὲ τὸ ἐκεῖσε καλὸν τὸ πρώ-
τως καλὸν οὐδὲ τὸ ἀγαθὸν αὐτὸ ὅπερ ἐστὶ τἀγαθόν· ἐκπεπ-
25 τώκασι γὰρ κἀκεῖνα τῆς ὑπερεχούσης καὶ ἀρρήτου φύσεως.
πρὸς μὲν οὖν τὰ τῇδε ἐν παραδείγματος λόγῳ ἐκεῖνα ἑστήκε-
σαν, πρὸς δὲ τὸ πρῶτον αἴτιον, καὶ ὑπὲρ ὃ τῶν πάντων οὐ-
δέν, εἰκόνες εἰσὶν ἀκριβεῖς. ἀλλὰ περὶ μὲν ἐκεῖνο ὑπὲρ κατά-
ληψιν πάντα· τὸ γὰρ ἀληθὲς οὔτε αἰὼν ἐκεῖσε οὔτε οὐσία
30 οὔτε στάσις οὔτε κίνησις οὐ ταὐτότης, ἀλλ' ἄρρητα πάντα
καὶ ἀνωνόμαστα. τὰ γοῦν εὐθὺς πρὸς ἐκεῖνο ἀφομοιούμενα
ζῶντά τε καὶ στάσιμα καὶ αἰώνια. ὁ τοίνυν παρ' ἐκείνοις
αἰὼν οὐ τὸ ὑποκείμενόν ἐστιν, οἷον οὐσία τις ὑπεστρωμένη
τοῖς ἄλλοις, ἀλλὰ ταύτης τε οὔσης καὶ τῆς νοερᾶς κινήσεως
35 καὶ τῆς ἐν ταὐτῷ στάσεως καὶ τῆς κατὰ τὸ ἀπαράλλακτον
ταὐτότητος, συσταλείσης τῆς ἑτερότητος, τὸ ἐκ τούτων ἢ σὺν

33 Plot. III 7,3,24–25

9 ἐκεῖσε] ἐκεῖνα **C** ‖ **10** ἐμφάσεις **C**: ἐκ- cett. ‖ **12** ἀποδεικνύντων **Na**[1] ‖ **22** οἶδεν **C** ‖ **23** ἀγένητα **C** ‖ **23–24** τὸ πρώτως καλὸν om. **R** | πρώτως] πρώτ(ε)ρον **C** ‖ **31** ἀνων- **R**: ἀνον- cett. ‖ **32** post τε add. ἐστι **C** ‖ **35** ταὐτὸ **C**

τούτοις ἐκλάμπον, οὐκ ἔξωθεν οὐδ' ὡς ἐπεισοδιῶδες, ἀλλ' ἐμφύτως καὶ οὐσιωδῶς, ἡ ξύμπασα (ἵν' αὖθις εἴποιμι) τῆς οὐσίας καὶ τῆς ταὐτότητος καὶ τῆς κινήσεως καὶ τῆς στάσεως συνοχή τε καὶ σύλληψις, τοῦτο ἂν εἴη, φιλοσοφώτατε, ὁ 40 αἰών· τὸ ξύμπαν ξυνειληφώς, ἀπὸ τοῦ ἀεὶ εἶναι τοὔνομα ἐσχηκώς, ᾧ μηδὲν ἐλλείπει, οὗ μηδὲν ἄπεστιν, ὃν οὐδὲν τῶν ὄντων ἐκπέφευγεν, ὃς ἐφ' ἑαυτοῦ τε ἥδρασται καὶ τῶν ἄλλων ἐστὶν ἔλλαμψις. τῷ γὰρ αἰῶνι οὐδὲν μὲν παρελήλυθεν οὐδὲ μέλλει τι, οὐδὲ γὰρ τὸ ἑστὼς αὐτοῦ τοιοῦτον οἷον ἀπολελειμ- 45 μένον τῶν ἄκρων, τοῦ μὲν οὖν ἐκπεφευγότος, τοῦ δὲ ἐσομένου καὶ μέλλοντος· ἔστι γὰρ καὶ τὸ μέσον καὶ τὸ περὶ τὸ μέσον.

Τοιοῦτος μὲν ὁ αἰών· ὁ δέ γε χρόνος γέννημα μὲν ἐκείνου, ἀπολελειμμένον δὲ τῆς πατρικῆς στάσεως· γεγέννηται γάρ, 50 ἵνα καὶ ἐκδράμῃ, καὶ βούλεται μὲν μιμήσασθαι τὸ ἑστὼς τοῦ γεννήτορος, ἀποτυγχάνει δὲ τοῦ ἀκριβοῦς, εἰ μὴ ὅσον ἐν τῷ συνεχεῖ τῆς κινήσεως τὴν ἐκεῖσε στάσιν ἐξεικονίζει. τὸ δ' ὅσον αὐτῷ διεστηκός, τὸ μέν τι παρῳχηκὸς γέγονε, τὸ δὲ μέλλον, τὸ δὲ τὸ εἶναι ψευδόμενον. ἀπεκληρώθη δὲ κατὰ λό- 55 γον τοῖς μὲν ἑστηκόσι καὶ ὡσαύτως ἔχουσιν ὁ αἰών, τοῖς δὲ κινουμένοις καὶ μεταβαλλομένοις ὁ χρόνος, ἐκεῖνος μὲν ἑδράζων τὴν φύσιν αὐτοῖς, οὗτος δὲ μὴ κωλύων ἡμῖν τὴν κίνησιν, ἀλλὰ συμπροϊὼν καὶ συμπορευόμενος, κατὰ δέ γε συμβεβηκὸς καὶ τὰ τῶν κινήσεων ἡμῖν μέτρα ἀπαριθμούμενος. οὐ γὰρ 60 φύσις αὐτῷ τὸ τὴν κίνησιν ἀριθμεῖν, ἀλλ' οὗτος μὲν ἐν τῷ προϊέναι οὐσίωται, τὸ δέ γε μέτρον ἐπεισοδιῶδες καὶ ἔξωθεν.

41–42 ibid. 4,13–15

39 τῆς[1] om. **C** ‖ **40** φιλοσοφώτατον **C** ‖ **41** ξυνειληφὼς **R**: ξυνειληφὸς **N**: συνειληφὼς **Ca**[1] ‖ **41** ἐσχηκὸς **RN** ‖ **42** ἐλλείπῃ **Ra**[1] | οὗ] ὦ **C** ‖ **43** ἀφ' **C** ‖ **45** γὰρ om. **C** | ἀπολελειμένον **N**, -λελυμένων **a**[1] ‖ **47** τὸ[3] om. **R** ‖ **50** ἀπολελυμένος **C**, -λελυμένον **a**[1] | γεγένηται **C** | ante γάρ add. τε **R** ‖ **51** καὶ[1] om. **Ca**[1] ‖ **54** αὐτὸ **Ra**[1] | μέντοι **R** ‖ **56** ἑστηκόσι] ἑκόσι **C**: ἑστηκάσι **v**[3] | ὁ om. **Cv**[3]

καὶ ὅσα μὲν τῷ αἰῶνι ἐφέστηκεν, αἰώνια παρὰ τοῖς φιλοσόφοις προσαγορεύεται καὶ αἰῶνος ὕστερα τῷ λόγῳ τίθεται· εἴ
65 τι δὲ τοῦ αἰῶνος ἐπέκεινα, τοῦτο ὑπεραιώνιον προσαγορεύεται.

Ἔστι τοιγαροῦν ὁ αἰὼν ὑπεραιωνίου μέσον καὶ αἰωνίου, ὥσπερ κἀνταῦθα ὁ χρόνος τοῦ τε ὑπερχρόνου καὶ τοῦ ἐγχρόνου. ὥσπερ γὰρ αἰώνιά φαμεν τὰ τοῦ αἰῶνος μετέχοντα,
70 οὕτω δὴ καὶ ἔγχρονα τὰ χρόνου μετεσχηκότα. τῶν δὲ μετεσχηκότων χρόνου ἡ μὲν τοῦ παντὸς περιφορὰ τῆς ὅλης αὐτοῦ μετέσχηκε φύσεως, τὰ δὲ περὶ ἐκεῖνον σώματα μέρους μείζονος καὶ ἐλάττονος· ἡμεῖς δὲ ἐν βραχεῖ μέρει τῆς τοῦ χρόνου μετεσχήκαμεν φύσεως. ἡ δέ γε ψυχή, ὅπερ ἠρώτηκας, μεταξὺ
75 αἰῶνος καὶ χρόνου τετάχαται. ἐπειδὴ γὰρ αὐτῆς ἡ μὲν οὐσία ἕστηκεν ἀναλλοίωτος, αἱ δέ γε ἐνέργειαι μεταβληταὶ καὶ κινούμεναι, διὰ ταῦτα ἑκατέρωθεν αἰῶνα καὶ χρόνον συνερανίζεται, αἰωνίζει μὲν γὰρ αὐτῆς ἡ οὐσία, χρονίζει δὲ ἡ ἐνέργεια. συστείλασα δὲ τὰς κινήσεις καὶ ἀναδραμοῦσα πρὸς
80 νοῦν καὶ στᾶσα μετ' αὐτοῦ ἢ ὑπ' αὐτὸν ἀμετάβλητος καὶ ἀκίνητος, τὸν μὲν χρόνον ἀφῆκε κάτω, ὅλη δὲ προσκεχώρηκε τῷ αἰῶνι καὶ τῆς κρείττονος μερίδος γεγένηται.

Ἔχεις οὖν ἐντεῦθεν κάλλιστον πόρισμα τῆς τοῦ παντὸς μεταποιήσεως καὶ πρὸς τὸ κάλλιστον ἀποκαταστάσεως. εἰ γὰρ ἡ
85 χρονωθεῖσα ψυχὴ αἰώνιος γίνεται μετὰ τοῦ νοῦ γενομένη, πῶς οὐχὶ καὶ ὁ χρόνος ξύμπας εἰς τὸν αἰῶνα ἀναλυθήσεται, ἀφ' οὗ καὶ τὴν πρόοδον ἔσχηκεν; ὥσπερ γὰρ ἦν τότε ὑπὸ τὸν αἰῶνα ἀτρεμὴς καὶ ἀκίνητος, φύσις δέ τις πολυπράγμων τοῦτον ἐκίνησεν, ἢ μᾶλλον εἰπεῖν ἀσθενοῦσα ψυχὴ τὴν νοερὰν

85 χρον. ψυχὴ] Plot. Enn. III 7,11,30 || **87–89** cf. ibid. 11,1–16 || **89–90** cf. Procl. In Tim. II 141,2

67 μέσου **C** || **68** ὑπερχρονίου **C** a[1] | ἐγχρονίου **C** || **69** γὰρ om. **C** v[3] || **70** καὶ] καὶ τὰ **C** v[3] || **75** mg. versus adscr. **C** ἄνω πτέρωσον πρὸς θεόν σου τὰς φραίνας· βίον πόθησον ἔνθεν ἠγλαισμένον || **84** εἰ] ἡ **C** || **85** γίγνεται **R** || **88** ἦν post αἰῶνα iterum scr. **RN** (tantum hic v[3]) | τοῦτο **C** || **89** εἰπεῖν om. **C** v[3]

ἔχειν ἀμέρειαν, ἀνελιττομένη δὲ πρὸς τὴν θήραν τοῦ ὄντος 90
τοῦτον ὑπέστησεν, οὕτω δὴ καὶ αὖθις ὑπὸ τὸν πατέρα ἔσται
τὸ ἐκδραμὸν γέννημα. μήποτε γὰρ καὶ ὁ ἄσωτος οὗτός ἐστι
παῖς, τοῦ μὲν αἰῶνος ὡς πρεσβυτέρου παρὰ τῷ πατρὶ μείναν-
τος, τούτου δὲ ὡς νεωτέρου ὑπεκδραμόντος καὶ τὴν οὐσίαν
ἐν τῇ κινήσει καταναλώσαντος, εἶτ' αὖθις ἐπαναδραμόντος 95
καὶ τοὺς μὲν πόδας ὑποδήμασί τισι περισφιγχθέντος, ἵνα μὴ
καὶ αὖθις ὑπορρεύσῃ κινούμενος, δεξαμένου τε τὸν δακτύ-
λιον, τῆς ἀκινησίας τὴν σφραγῖδα, καὶ τὸν σιτευτὸν μόσχον
ἐδηδοκότος, τὴν τῆς αἰωνίου μετάληψιν φύσεως. ἐπάγεται
γάρ με εἰς τοῦτο καὶ ἡ παναρμόνιος συμφωνία χρόνου πρὸς 100
αἰῶνα κραθέντος καὶ τῶν ἐναντίων ἀλλήλοις συνομολογησάν-
των.

Γενήσεται γοῦν ταῦτα, βελτίστη ψυχή, καὶ ἔσται καινὸς
μὲν οὐρανός, καινὴ δὲ γῆ, καινὴ δὲ ζωὴ καὶ κατάστασις, τοῦ
ἀκρογωνιαίου λίθου τὰ διεστῶτα συνδέοντος καὶ χρόνον 105
αἰῶνι συγκαταλλάσσοντος καὶ τὰ ἐναντία συγκεραννύντος
καὶ ἁρμονίαν ἐμμελεστάτην κατασκευάζοντος. δεῖ γὰρ ἑνὸς
ὄντος τοῦ πρώτου αἰτίου ἓν τὰ πάντα γενήσεσθαι καὶ εἰς τὴν
ἀρχαίαν ταὐτότητα τὰς ἐκδρομὰς καὶ τὰς κινήσεις σταθή-
σεσθαι. 110

90 τὴν θήραν τοῦ ὄντος] cf. Plat. Phaed. 66c ‖ **92–99** Luc. 15,11–32

93 μείναντος παρὰ τῷ πατρὶ trp. **C** ‖ **97** ὑπορρεύσει **N**, ὑπορεύσῃ **C** ‖ **98** τὸν **a**[1]**v**[3]: τὸ cett. ‖ **100** εἰς] πρὸς **C** | πρὸς] προ **N** ‖ **103** ψυχῇ **R** ‖ **104** ante οὐρανὸς add. ὁ **C** | ἡ γῆ **Cv**[3] (ἡ s.l. **a**[1])

33

Τοῦ αὐτοῦ εἰς ῥητὸν ἀποστολικόν

Ἐπεζήτησας ἐν τῷ γράμματι, τίνος ἕνεκα μὴ ἀθάνατον δύναμιν τῷ θεῷ ἀλλ' ἀίδιον ὁ ἀπόστολος προσηρμήνευσε, καὶ εἰ θάτερον θατέρου διήλλακται, καὶ διαλλαττόντοιν ὁποῖον
5 τὸ κρεῖττον καὶ ὑψηλότερον.

Φημὶ γοῦν, ὅτι καὶ διαλλάττει πρὸς ἄλληλα τὰ ὀνόματα καὶ τὸ μᾶλλον κατ' οὐσίαν ὑπερανέχον, φημὶ δὴ τὸ ἀίδιον, τῷ κρείττονι προσμαρτυρεῖ ὁ ἀπόστολος. τὸ μὲν γὰρ ἀθάνατον τῆς ἀειζώου δηλωτικὸν καθέστηκε φύσεως· εἰ γὰρ ὁ θά-
10 νατος ζωῆς ἐστι στέρησις, τὸ ἀθάνατον συντήρησίς ἐστι τῆς τοιᾶσδε δυνάμεως· τὸ δέ γε ἀίδιον τῆς τοῦ ἀεὶ εἶναι γνωριστικόν ἐστιν ὑποστάσεως. τὸ δὲ εἶναι τοῦ ζῆν, ἤτοι τὸ ὂν τῆς ζωῆς, τιμιώτερόν τε καὶ ὑψηλότερον. τὸ μὲν γὰρ ἀθάνατον ἐξ ἀνάγκης ἐστὶ καὶ ἀίδιον, τὸ δὲ ἀίδιον οὐ πάντως ἐστι καὶ
15 ἀθάνατον· ὥστε τὸ μὲν ἀιδίως εἶναι ἕπεται τῷ ἀθανάτως ὑφίστασθαι, τὸ δὲ ἀειζώως εἶναι οὐκ ἀντακολουθεῖ τῇ ἀιδίῳ ὑπάρξει. ἐπεὶ τοιγαροῦν ὑπεραναβέβηκε τὸ ὂν τὴν ζωήν, δηλωτικὸν δὲ τῆς μὲν ζωῆς τὸ ἀθάνατον, τοῦ ὄντος δὲ τὸ ἀίδιον, τὸ κρεῖττον τῶν ὀνομάτων τῇ ὑπερτελεῖ φύσει προσε-
20 μαρτύρησε.

Καὶ ἵνα σοι περὶ τούτου διέλωμαι ἐντελέστερον, ὂν καὶ ζωὴ καὶ νοῦς, τὰ τρία ταῦτα πρὸς ἄλληλα διενήνοχε. καὶ ἔστι τὸ μὲν ὂν ἀμφοῖν περιεκτικώτερον, ὁ δὲ νοῦς πρὸς ἄμφω ὑπέσταλται, ἡ δὲ ζωὴ ἀμφοῖν οὖσα μέση καὶ οἷον κέντρον

3 Rom. 1,20 || **9–17** cf. Procl. Elem. th. 105

33 R 119v–120v**N** 44r–v**v4** 60v excerpta (**8** τὸ μὲν – **18** ἀίδιον et **33** εἰ δέ τις – **44** θεὸς ἕν) || ed. Westerink, *De omnifaria doctrina,* pp. 104–106 (cum **RN**) || **7** δὴ **N**: δεῖ **R** || **11** τοιᾶσδε **RN**: τοιαύτης **v4** || **11** γνωριστικόν **v4**: γνωστικόν **RN** || **14** ἀίδιον1,2 **Rv4**: ἀείδιον **N** || **15** ἀιδίως **Rv4**: ἀει- **N** || **16** ἀειζώως **Nv4**: -οις **R** || **17** τοιγαροῦν **RN**: τοίνυν **v4** || **18** δὲ τῆς μὲν **RN**: μὲν τῆς **v4**

τῶν ἀφεστηκότων ὑποβέβηκε μὲν τὸ ὄν, τὸν δὲ νοῦν ὑπερβέ- 25
βηκεν. ὁ μὲν γὰρ νοῦς καὶ ζωὴ καὶ ὄν ἐστι· τὸ δὲ ζῶν ὑφέστηκε μέν, οὐχ ἅπαν δὲ ἐξ ἀνάγκης καὶ νοῦ καθέστηκε μέτοχον· ὁ δέ γε νοῦς ὑπερεκπίπτει ἀμφότερα. διὰ ταῦτα τοῦ μὲν ὄντος πάντα μετέχει ὅσα τε νοῦ καὶ ὅσα ζωῆς μέτοχα, τὴν δέ γε ζωὴν τὰ πλείω διέλαθεν, ὡς δὲ καὶ τὰ νοοῦντα ἐλάττω 30
τῶν ὄντων ἐστί.

Διὰ ταῦτα μὲν τὴν περιεκτικωτέραν δύναμιν, φημὶ δὴ τὴν ἀίδιον, προσυφιστάνει ὁ ἀπόστολος τῷ θεῷ. εἰ δέ τις κυριολογεῖν βούλοιτο, οὐδὲ ὄν ἐστιν ὁ θεός. εἰ δὲ καὶ αὐτὸς ἑαυτῷ τὸ ὄνομα τοῦτο προσμαρτυρεῖ χρηματίζων τῷ Μωυσεῖ, ἀλλὰ 35
συγκαταβατικώτερον πρὸς τὴν ἐκείνου παραδοχὴν τὴν μαρτυρίαν πεποίηται. τὸ γὰρ ὂν ἑνώσεώς ἐστιν ὄνομα, ἡ δὲ ἕνωσις ἡνωμένων ἐστὶν ἕνωσις· ὁ δέ γε θεὸς τὸ πάντων ἁπλούστατον, ὥστε μᾶλλον ἂν τὸ ἓν ἢ τὸ ὂν προσμαρτυρήσαι τις τῷ θεῷ. τοῦτο γὰρ καὶ νοῦ τιμιώτερον· ὁ γὰρ νοῦς πολλά, 40
καὶ ὁπόσα τὰ ὄντα, πρὸ δὲ τῶν πολλῶν τὸ ἕν, ὥστε καὶ πρὸ τοῦ νοῦ ὁ θεός. εἴ τι δὲ τῶν ἄλλων ἓν λέγεται, οὐ κυρίως ὠνόμασται, ἀλλὰ τὴν μὲν οὐσίαν ἑτεροῖόν ἐστι, διὰ δὲ τὴν ἕνωσιν τετύχηκε τοῦ ὀνόματος, μόνος οὖν ὁ θεὸς ἕν.

Ὁ μὲν οὖν Ἀριστοτέλης μέχρι τοῦ νοῦ τὴν πολυπραγμο- 45
σύνην τῆς διανοίας προαγαγὼν τὴν ζήτησιν ἔστησεν, ὁ δέ γε Πλάτων προσωτέρω προὐχώρησε καὶ ὑπὲρ τὸν νοῦν ἐφεῦρε τὸ ἕν. ὁ δ' αὐτὸς ἀνὴρ οὐδὲ μέχρι τούτου τὸ θεῖον ὁρίζει οὐδὲ τοῖς πᾶσιν ἐφίστησιν, ἀλλ' ὑπὲρ τὸ πᾶν τίθησιν ὡς ἀσύντακτον καὶ ἀόριστον καὶ ἀζήτητον. ἕτεροι δὲ αὖθις τῶν 50
φιλοσοφησάντων ἐξῃρημένην τοῦτο μονάδα τιθέασι· καὶ ἄλ-

34–35 Ex. 3,14 || **45–46** Aristot. Metaph. 1074b15–1075a10

26 ζωὴ **N**: ζῇ **R** || **30** leg. διέλαβεν? | καὶ τὰ νοοῦντα **N**: κατανοοῦντα **R** || **31** an ζώντων voluit? || **33** κυριολογεῖν **RN**: κυριολεκτεῖν **v**[4] || **34** δὲ καὶ **v**[4]: γὰρ **RN** | ἑαυτῷ **RN**: ἑαυτοῦ **v**[4] || **35** μωυσεῖ **R**: -ῇ **N** | loco χρηματίζων τῷ Μ. scr. τοῦ μωσέως ante ἐκείνου (36) **v**[4] || **39** προσμαρτυρήσαι **v**[4]: -σει **RN** || **49** ὡς Wk.: καὶ **RN** || **50** ἀζήτητον **N**: ἀναζήτητον **R**

λοι βυθὸν ὀνομάζουσιν. οἱ δέ γε τουτὶ τὸ ὄνομα, φημὶ δὴ τὸν βυθόν, κάτω που τοῦ ἀνωνομάστου τεθείκασιν, ἐν δέ γε τῷ βυθῷ τριαδικόν τινα ἀριθμὸν ἀναπλάττουσι, πατέρα καὶ δύ-
55 ναμιν καὶ νοῦν. ἕκαστος γὰρ ταῖς φυσικαῖς ἐννοίαις περιπλανώμενος ὃ πέπονθε κατωνόμασεν. ἀλλ' ἡμῖν ὅροι καὶ κανόνες ἑστᾶσιν ἐκ τῆς εὐαγγελικῆς φιλοσοφίας, τὸ θεὸς ὄνομα, καὶ αὖθις αἱ ἰδιότητες, αἱ ὑποστάσεις, οἱ χαρακτῆρες, ἡ οὐσία, ἡ φύσις, ἡ μορφή· καὶ ἄνιμεν ἄχρι τούτων, καὶ αὖθις ἐντεῦθεν
60 πρὸς τὴν θεολογίαν καὶ τὴν τῶν δογμάτων ὁρμῶμεν ὀρθότητα. τοῖς μὲν οὖν Ἕλλησιν ἡ αὐτονομία τὰς καινότητας τῶν ὀνομάτων ὑπέστησεν, ἡμῖν δὲ ὁ θεῖος νόμος ἀφώρισεν ὁπόσοις τῶν ὀνομάτων καὶ οἷς τὸ θεῖον σεμνύνειν χρεὼν καὶ τιμᾶν.

34

Τοῦ αὐτοῦ λύσις τῆς κοινῆς ἀπορίας ἁπάντων τῶν ἔξω τοῦ ἡμετέρου δόγματος τῶν Χριστιανῶν, ἣν οὕτως προσφέρουσι λέγοντες· τίς ἦν ἡ ἀναγκαία χρεία ἡ κατεπείγουσα τὴν πανταιτίαν οὐρανόθεν κατελθεῖν καὶ τῷ ἀνθρωπείῳ γένει συγ-
5 καταβῆναι καὶ τεχθῆναι καὶ πάντα τὰ ἀνθρώπινα πάθη ὑποστῆναι καὶ σταυρωθῆναι καὶ ταφῆναι καὶ ἀναστῆναι; τί γὰρ οὐκ ἠδύνατο νεύματι μόνῳ σῶσαι τὸν ἅπαντα κόσμον καὶ μὴ κενοῦσθαι τῆς ἰδίας δόξης μηδὲ τὸ ἐλάχιστον; τοῦτο γὰρ ἦν καὶ τοῦ ὕψους τῆς θεότητος ἄξιον καὶ ἡμῖν τοῖς ἀνθρώποις
10 λυσιτελέστερον

52–55 cf. Psell. Phil. min. II, p. 146,13–14; 148,23–24; Theol. I, opusc. 23, 37–38; op. 23 A,7–9

52 γε **N**: δε (sic) **R** || **53** ἀνων- **R**: ἀνον- **N** || **58** αἱ ἰδιότητες **R**: ἀιδιότητες **N**

34 R 120ᵛ–122ʳ **N** 44ᵛ **v** 391ᵛ/391 aʳ⁻ᵛ/390ʳ || ed. Westerink, *De omnifaria doctrina*, pp. 106–108 (cum **RN**) || **1** Τοῦ αὐτοῦ] Τοῦ ψελλοῦ **v** || **3** κατεπείξασα **v**

Ταύτην τὴν ἀπορίαν οὐκ Ἀγαρηνοὶ μόνον, ἀλλὰ καὶ Ἕλληνες πάντες προβάλλονται, ἀναιρετικὴν οἰόμενοι ταύτην παντὸς τοῦ ἡμετέρου δόγματος· ἀρχὴ γὰρ καὶ οἱονεί τις κρηπὶς τοῦτο ἀσφαλεστάτη τῆς ἐνσάρκου ἐστὶν οἰκονομίας.

Λέγομεν τοίνυν πρὸς τούτους ἅπαντας, ὡς ὁμολογουμένως 15 ὁ θεὸς ὑπεράγαθός ἐστι καὶ φιλανθρωπότατος καὶ μεγαλοδωρότατος καὶ δικαιότατος. καὶ σκοπητέον τίνι κρίνομεν παρ' ἡμῖν τὸν πάντων ἀνθρώπων εὐμεταδοτώτερον. ὁ μὲν γὰρ ἡμῶν δωρεῖται χρήματα, ὁ δὲ λόγους διδασκαλικοὺς καὶ νουθετικούς, ὁ δὲ σκέπην καὶ ὑπερασπισμόν· τούτων δὲ 20 ἁπάντων κρείττων ἐστὶν ὁ δωρούμενος ἑαυτόν. ἐπεὶ οὖν τὸ θεῖον πάντῃ τέλειόν ἐστιν, ἄκρατον ἔχει παρ' ἑαυτῷ τὸ ἀγαθόν, διὸ οὐκ ἀπηξίωσε συγκαταβῆναι τῇ ἡμετέρᾳ χαμερπεῖ φύσει καὶ χαρίσασθαι ἑαυτὸν δι' ἄκραν εὐσπλαγχνίαν τε καὶ ἀγαθότητα. 25

Οὐ μὴν ἀλλὰ καὶ ὡς δικαιότατος τοῦτο πεποίηκε καὶ τὰς ὑπερηφανίας βδελυσσόμενος καὶ τὰς βίας ἀποτρεπόμενος. εἰ γὰρ τὰ τῶν δαιμόνων θράση χωρὶς τῆς ἐνσάρκου οἰκονομίας κατέβαλεν, ἐνεχώρει τούτοις λέγειν ὡς ἄνθρωπον μὲν ἡττήσαμεν, παρὰ δὲ θεοῦ ἡττήθημεν· καὶ τοῦτο οὐκ ἂν ἦν ἄκρας 30 δικαιοσύνης. ἐπεὶ δὲ τὰ μὲν τῶν σωμάτων ἰῶνται διὰ τῶν ὁμοίων, τὰ δὲ διὰ τῶν ἐναντίων, τῷ διττῷ τῆς θεραπείας τρόπῳ πρὸς τὴν ἡμετέραν δεινὴν καὶ θανατηφόρον νόσον ὁ σοφὸς ἐχρήσατο δημιουργός, διὰ μὲν τοῦ ἀνθρώπου σώσας τὸν ἄνθρωπον, διὰ δὲ τῆς σταυρώσεως τὴν ἐκ τοῦ ξύλου 35 παράβασιν ἰασάμενος, καὶ διὰ θανάτου θανατώσας τὸν θάνατον· διὰ δὲ τοῦ ἁγιασμοῦ καταργήσας τὴν ἁμαρτίαν καὶ διὰ τῆς εὐλογίας τὴν κατάραν, καὶ διὰ τῆς πηγῆς τῆς ζωῆς τὴν ζωὴν δωρησάμενος.

36–37 e.g. Epiph. Ancor. 93,4

12 ταύτην οἰόμενοι trp. **v** ‖ **14** τοῦτο post γὰρ trp. **v** | τῆς] τὰ τῆς **v** | ἐστὶν mg. suppl. **v** ‖ **18** παρ' ἡμῖν om. **RN** ‖ **30** ἡττήθημεν] ἡττήμεθα **v** | ἂν om. **RN** ‖ **38** τὴν πηγὴν **RN**

40 Εἶτα τί πέπονθε τῆς θεότητος ἡ θεότης ἀνάξιον ἐνανθρωπήσασα; οὐ πάντα πλήρη ταύτης, οὐρανός τε καὶ τὰ ὑπὲρ τοῦτον καὶ γῆ καὶ τὰ ὑπ' αὐτήν; ὅπερ καὶ οἱ Ἕλληνες αἰνιττόμενοι ἐρραψῴδουν, 'Ζεῦ κύδιστε μέγιστε θεῶν, ἐπειλυμένε κόπρῳ, ὅση τε μηλείη καὶ ἱππείη καὶ ἡμιονείη'. ἐδήλουν γὰρ
45 διὰ τούτων τὸ μὴ στερεῖσθαι μηδὲ τὰ παρ' ἡμῖν ἀτιμότερα τῆς θείας ἐλλάμψεως. καὶ εἰ πάντα πλήρη τῆς θεότητος καὶ οὐδέν ἐστι ταύτης κενόν, τί καινὸν εἰ ἐνηνθρώπησε καὶ ἐπὶ γῆς ἐβάδισε καὶ τοῖς ἀνθρώποις συνανεστράφη; καὶ γὰρ καὶ πρὸ τῆς ἐνανθρωπήσεως καὶ μετὰ τὴν ἐνανθρώπησιν πλήρη
50 αὐτοῦ τὰ πάντα ἦν.

Ἀλλὰ καὶ τὸ σταυρωθῆναι καὶ τὸ ταφῆναι καὶ τὸ θανεῖν οὐδ' ὅλως ἅπτεται τῆς θεότητος, ὥσπερ οὐδὲ τοῦ ἐπιλάμποντος ἡλίου δένδρῳ τινὶ ἡ ἀξίνη παρ' αὐτῆς τεμνομένῳ. ἐκεῖνο γὰρ ὑπείκει τῷ πάθει, τὸ τοῦ πάθους δεκτικόν· τὸ δὲ τούτου
55 ὑπέρτερον οὐ πάσχει παρά τινος. τὸ δὲ ῥαπίζεσθαι καὶ κολαφίζεσθαι καὶ δικαστηρίοις παραστῆναι καὶ ἐπὶ ξύλου ἀρθῆναι παρ' ἡμῖν μέν ἐστι καὶ φαίνεται δεινά, εἰθισμένοις οὕτω κατὰ συνθήκην ταῦτα νοεῖν· ὥσπερ τοῖς νῦν ἀνθρώποις ἄκρα ἀτιμία ἐστὶν ἡ τῶν τριχῶν τοῦ πώγωνος ἁφή, τοῖς πά-
60 λαι οὖσα δυσώπησις. παρὰ δὲ θεῷ οὐδὲν τούτων αἴσχιστον, εἰ μὴ μόνον τὸ ἁμαρτάνειν.

Τί δ' ἂν εἴποις σὺ ὁ ἐκ τῆς Ἄγαρ, ὁ τὴν παλαιὰν διαθήκην καὶ τὰ τοῦ Μωσέως δεχόμενος; τί ξενίζῃ καὶ ἄτοπον λογίζῃ τὴν τοῦ θεοῦ ἐνανθρώπησιν ὁ πιστεύων τὸ θεῖον ὀφθῆναι

41 cf. Plat. Leg. X 899b9 || **43–44** Orpheus apud Greg. Naz. Or. 4,115 (ll. 17–20 Bernardi); cf. Philostr. Heroic. 162,14–20; Psell. Phil. min. I, op. 46,23–24 || **55–56** cf. Matth. 26,27 || **59–60** cf. Hom. Il. 1,501 || **62–63** cf. Gal. 4,23–24

43 ἐραψώδουν **RN** | εἰλυμένε Greg., Philostr. || **47** κενόν] -ε- ex -αι- **v** | καινὸν] κενὸν **N** || **51** τὸ[1]] τῶ **N** || **52** τοῦ Wk.: τῶ **RN**, evan. **v** || **53** αὐτῆς Wk.: αὐτοῖς **RN**, litt. amissis non leg. **v** | ἐκεῖνο Wk.: ἐκείνω **RN**, non pro certo leg. **v** || **55** ἐγκολαφίζεσθαι **v** || **58** συνκην sic ut vid. **v** || **64** πιστεύω **v**

τῷ Μωυσεῖ ἐν τῇ βάτῳ τῇ χείρονι τῶν φυτῶν; εἰ γὰρ ἐν τῇ 65
βάτῳ οὐκ ἀπηξίωσεν ὀφθῆναι, πόσῳ γε μᾶλλον παρὰ τῷ
κρείττονι καὶ θειοτέρῳ τῶν κτισμάτων, τῷ ἀνθρώπῳ, δι' ὃν
οὐρανός τε καὶ γῆ καὶ πᾶσα τελετὴ καὶ μυστήριον. τὸ δὲ λέ-
γειν σε καταβῆναι τὸ θεῖον καὶ ἐξ οὐρανοῦ κατελθεῖν οὐ κυ-
ρίως ἐστὶ κατέλευσις καὶ κατάβασις, ἀλλ' ὅσον πρὸς τὴν 70
ἡμετέραν διάνοιαν, ἀπορούσης τῆς γλώσσης διὰ τοῦ προφο-
ρικοῦ λόγου τὰ νοητὰ ἑρμηνεῦσαι. κυρίως γὰρ λέγεται κατ-
ελθεῖν τὰ σώματα, ὅταν τοῦ ἄνωθεν τόπου χωρισθέντα χω-
ρήσῃ ἐπὶ τὸν κάτωθεν. ἔνθα δὲ πλήρη τὰ πάντα τῆς θεότη-
τος, οὐ χρεία τοιαύτης κατελεύσεως· καὶ γὰρ ὢν ὁ υἱὸς καὶ 75
λόγος παρ' ἡμῖν ἀχώριστος ἦν τῶν νοητῶν κόλπων τοῦ πα-
τρός.

Καὶ δὴ ἕτερόν τι πόρισμα ἡμῖν ἀξιοθαυμαστότατον ἐπεγέ-
νετο διὰ τῆς τοῦ θεοῦ ἐνανθρωπήσεως τῆς τούτου δικαιο-
σύνης ἐπάξιον. εἰ γάρ, μὴ κατελθών, πάντας ἔσωσε καὶ ἄκον- 80
τας, οὐκ ἂν ἦν τούτοις χάρις οὐδεμία· νῦν δὲ τὴν ἀρχὴν τῆς
ὀρθοδόξου πίστεως καὶ τῶν ἀρετῶν ἐξ ἡμῶν λαμβάνων σῴζει
τρόπον μέν τινα ἀξίως διὰ τὴν προθυμίαν, τρόπον δέ τινα
κατὰ χάριν διὰ τὴν τῆς ἡμετέρας φύσεως ἀτέλειαν, ἵν' ᾖ,
καθά φησιν ἡ θεολόγος γλῶσσα, τοῦ ἑλομένου τὸ ἀγαθὸν 85
οὐχ ἧττον ἢ τοῦ παρασχόντος τὰ σπέρματα.

Δέδεικται οὖν διὰ τῶν εἰρημένων, ὡς εἰ μὴ τὸ θεῖον
ἐνηνθρώπησεν, οὔτε τέλειον εἶχε τὸ εὐμετάδοτον καὶ τὸ
ὑπεράγαθον, διὰ τὸ μὴ ἀποχαρίσασθαι ἑαυτό, οὔτε ⟨τὸ⟩ δί-
καιον, διὰ τὸ δυνάμει χειρὸς τὸν ἀντίπαλον κατασβέσαι, 90

64–65 Exod. 3,2 || **84–86** Greg. Naz. Or. 38,12 (ll. 2–4 Mor.)

65 τῷ Μωυσεῖ post βάτῳ trp. **v** | μωυσῇ **N** || **65–66** τῇ βάτῳ] ταύτῃ **v** || **67** θειοτέρῳ] τιμιωτέρω **v** | ὧν **v** || **71** γλώττης **v** || **72** διερμηνεῦσαι **v** || **73** ὅταν] ὅθεν **RN** || **73/74** χωρήσει **RN** || **74** τὸν] τῶν **N** | τῆς om. **N** || **76** post λόγος add. τοῦ θεοῦ **v** || **84** τὴν om. **v** || **85** ὁ θεολόγος φωνή, sscr. γλῶσσα **R** | γλῶσσα, ττ sscr. **v** || **88–89** τὸ ὑπεράγαθον καὶ τὸ εὐμετάδοτον trp. **v** || **89, 91** τὸ add. Wk.

οὔτε ⟨τὸ⟩ ἀκεσώδυνον, διὰ τὸ μὴ χρῆσθαι πρὸς τὴν ἡμετέραν νόσον τοῖς διττοῖς τῆς θεραπείας τρόποις. ὥστε τὸ ἐνανθρωπῆσαι τὸ θεῖον ἄξιον ἦν τῆς ἑαυτοῦ εὐσπλαγχνίας καὶ δικαιοσύνης καὶ προμηθείας. καὶ ταῦτα μέν, ἃ προχειρότατα
95 τῇ ἡμετέρᾳ διανοήσει περὶ τῆς τοιαύτης ὑπέδραμεν ἀπορίας· ἐν ἄλλοις δὲ εἰρήσεται ἡμῖν τὰ περὶ τούτου καὶ τῶν τοιούτων ἀποριῶν διεξοδικώτερον.

35

Τοῦ αὐτοῦ ἔκθεσις πίστεως ἐκδοθεῖσα τῷ βασιλεῖ τῷ Μονομάχῳ πρὸς ἔλεγχον τῶν διαβαλλόντων αὐτόν

Πιστεύω εἰς πατέρα καὶ υἱὸν καὶ πνεῦμα τὸ ἅγιον, τὴν ἁγίαν τριάδα καὶ ὁμοούσιον, τὴν διαιρετὴν μὲν τοῖς προσώ-
5 ποις, ἀδιαίρετον δὲ τῇ οὐσίᾳ καὶ τῇ θεότητι, ἐξ ἧς πάντα τὰ ὄντα ὑφέστηκεν, ὅσα νοητὰ καὶ ὅσα ἐν σωματικαῖς τάξεσι. πιστεύω καὶ ὁμολογῶ τρία πρόσωπα, τρεῖς ὑποστάσεις, ἀρχὴν δὲ μίαν καὶ κυριότητα, ἄναρχον ἀτελεύτητον ἀίδιον καὶ αἰώνιον· καὶ ἀναθεματίζω Σαβέλλιον τὸν εἰς ἓν πρόσωπον τὰ
10 τρία συστέλλοντα καὶ Ἄρειον τὸν τὴν μίαν θεότητα φύσεσι τρισὶ κατατέμνοντα. πιστεύω ἐκ τοῦ πατρὸς τὸν υἱὸν γεννηθῆναι καὶ τὸ πνεῦμα ἐκπορευθῆναι χρόνων καὶ αἰώνων ἐπέ-

7–8 Ioann. Damasc. Expos. fid. 8,2; 8,22 || **8–9** ibid. 2,10 || **12–13** αἰώνων ἐπέκεινα] cf. Basil. De spir. sancto XIX, 49 (Pruche)

95 τὸ ὑπέδραμε ante τῇ trp. **v** | post ἀπορίας def. **v**
35 **D** 69r–71r **i** 10v–11v **u** 144r–146r **p** 130v–132r **v**5 7r–v **b**1 p. 413 || ed. Garzya, *ΕΕΒΣ* 35 (1966–67) 44–46 (cum Laur. gr. 59, 28) || **1** Τοῦ αὐτοῦ] **D** | ἔκθεσις – **2** αὐτόν] **D**, sim. **u**, ἔκθεσις πίστεως tantum **i**: ἔκθεσις πίστεως τοῦ σοφωτάτου κωνσταντίνου τοῦ ψελλοῦ **pv**5**b**1 || **3** πνεῦμα τὸ ἅγιον] **Dpv**5**b**1: πνεῦμα ἅγιον **i**: ἅγιον πνεῦμα **u** || **4** μὲν om. **iu** || **6** ὅσα νοητὰ] **pv**5**b**1: om. **Diu** || **9** καὶ ἀναθ. – **11** κατατέμνοντα] **Diu**: om. **pv**5**b**1 qui post **12** ἐπέκεινα scr. καὶ ἀναθεματίζω σαβέλλιον τὸν εἰς ἓν πρόσωπον τὰ τρία συστέλλοντα· καὶ ἄρειον καὶ εὐνόμιον τοὺς τὴν ὁμοουσιότητα τῆς μιᾶς θεότητος ταῖς ὑποστάσεσι κατατέμνοντας

κεινα. πιστεύω, ὅτι ὁ πατήρ ἐστιν αἴτιος τοῦ υἱοῦ φυσικῶς· καὶ ὅτι ὁ υἱὸς τελεία ὑπόστασίς ἐστι τῆς πατρικῆς ἀχώριστος ὑποστάσεως· καὶ ὅτι τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ πατρὸς 15 ἐκπορευόμενον ⟨πατρὶ⟩ καὶ υἱῷ συμπροσκυνεῖται καὶ συνδοξάζεται ἀχώριστον ὂν καὶ ἀνεκφοίτητον πατρὸς καὶ υἱοῦ. πιστεύω καὶ ὁμολογῶ πάσης οὐσίας ἐξῃρημένην εἶναι τὴν ὑπέρχρονον τριάδα καὶ ὁμοούσιον, ἀσυγχύτως ἑνουμένην καὶ ἀδιαστάτως διαιρουμένην· μίαν οὐσίαν καὶ τρεῖς ὑποστάσεις, 20 τελείαν ἐξ ἀρχῆς καὶ μηδενὶ προσώπῳ ἐλλείπουσαν, ἅμα γὰρ πατὴρ καὶ υἱὸς καὶ πνεῦμα ἅγιον.

Πιστεύω ἐπ' ἐσχάτων τῶν χρόνων, ἤτοι ἐπὶ τῶν χρόνων Αὐγούστου Καίσαρος, κατὰ τὸ ͵εφ' ἔτος, ἄνθρωπον γενέσθαι τὸν ἕνα τῆς ἁγίας τριάδος ἤτοι τὸν μονογενῆ υἱὸν τοῦ πατρός· 25 καὶ τῶν μὲν πατρικῶν κόλπων μὴ ἀποφοιτῆσαι, διὰ δὲ τὴν ἐμὴν ἁμαρτίαν (ἐμὴ γὰρ ἡ τοῦ προπάτορος) κλῖναι τοὺς οὐρανοὺς καὶ καταβῆναι καὶ τὴν τῆς θεότητος φύσιν μὴ ἀλλοιώσαντα ἄνθρωπον γενέσθαι τέλειον. πιστεύω ἐκ τῶν ἀχράντων αἱμάτων τῆς ἁγίας καὶ ἀειπαρθένου Μαρίας τὸν υἱὸν τοῦ θεοῦ 30 σωματωθῆναι καὶ κύριον ἡμῶν, καὶ προελθεῖν ἐκ τῆς ἐκείνης νηδύος ὑπόστασιν μίαν ἐκ δύο σύνθετον φύσεων· εἰ γὰρ καὶ ἄνθρωπός ἐστι καὶ θεός, ἀλλ' ἓν πέφυκε πρόσωπον, ἐν δυσὶ φύσεσι γνωριζόμενον. πιστεύω, ὅτι ἀτρέπτως καὶ ἀναλλοιώ-

13 Ioann. Damasc. op. cit. 8,151 ‖ **16–17** cf. Ioann. Damasc. Ep. de hymno trisag. 3,4–6 ‖ **17** Ioann. Damasc. Expos. fid. 8,185 ‖ **17–19** ibid. 8,14 ‖ **19–20** ibid. 8,25 ‖ **23** cf. ibid. 51,7; 1 Petr. 1,20 ‖ **26** Ioann. Damasc. op. cit. 51,6–7 ‖ **27–28** Ps. 143,5 ‖ **29–31** cf. Ioann. Damasc. op. cit. 46,21–22; 87,73–75 ‖ **32** ibid. e.g. 47,67–69; 48,14–15 ‖ **32–34** cf. ibid. 78,6–7 ‖ **34–35** ibid. 47,2

16 πατρὶ add. Wk. | συνπροσκυνεῖται codd. praeter **D** ‖ **22** καὶ[1]] **pv⁵b¹**: om. **Diu** ‖ **23** χρόνων[1]] **Diu**: αἰώνων **pv⁵b¹** | ἤτοι – χρόνων om. **iu** ‖ **27** post προπάτορος add. πτῶσις **iu** ‖ **28** θεώσεως **iu**

35 τως ἡνώθησαν αἱ φύσεις καὶ ὅτι ἐκ δύο φύσεων τελείων ἡ ἕνωσις γέγονεν, οὐχ ὅτι αἱ δύο φύσεις μίαν σύνθετον ἀπετέλεσαν φύσιν, ἀλλ' ὅτι αἱ δύο φύσεις μίαν σύνθετον ἀπετέλεσαν φύσιν, ἀλλ' ὅτι ἡνώθησαν ἀλλήλαις εἰς μίαν ὑπόστασιν σύνθετον τοῦ υἱοῦ τοῦ θεοῦ· καὶ ἀναθεματίζω Νεστόριον τὸν
40 εἰς δύο υἱοὺς τὸν ἕνα κατατέμνοντα καὶ Εὐτυχῆ καὶ Σεβῆρον τοὺς σύγχυσιν τῶν συνελθουσῶν δύο φύσεων δογματίζοντας. πιστεύω καὶ ὁμολογῶ τὴν ἁγίαν θεομήτορα Μαρίαν ἄνευ ἀνδρὸς συλλαβεῖν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ ἄνευ ὠδίνων τεκεῖν· τὴν αὐτὴν ὁμολογῶ ὑπερτέραν γενέσθαι τῶν
45 χερουβὶμ καὶ ἁγιωτέραν τῶν σεραφὶμ καὶ καθαρωτέραν πάσης γενητῆς φύσεως. πιστεύω, ὅτι κατὰ ἀλήθειαν ἐσαρκώθη ὁ κύριος καὶ οὐ κατὰ φαντασίαν, καὶ ὅτι ἐπείνησε καὶ ἐδίψησε καὶ ἠγωνίασε νόμῳ σώματος· καὶ ὅτι θνητὸς ὁ αὐτὸς καὶ ἀθάνατος ἦν, ὁρατὸς καὶ ἀόρατος, περιγραπτὸς καὶ ἀ-
50 περίγραπτος, καὶ ὅτι εἷς ἦν καὶ ὁ αὐτὸς ὁ καὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα ἐνεργῶν.

Πιστεύω, ὅτι ἄλλο ἐστὶν οὐσία καὶ ἄλλο ὑπόστασις· ἡ μὲν γὰρ οὐσία τὸ περιεκτικὸν εἶδος σημαίνει τῶν ὑποστάσεων, οἷον θεός, ἄνθρωπος, ἡ δ' ὑπόστασις τὸ πρόσωπον δηλοῖ,
55 πατέρα, υἱὸν καὶ πνεῦμα ἅγιον· μίαν οὖν ὑπόστασίν φαμεν σεσαρκῶσθαι τῆς θείας οὐσίας, ἤτοι τὸν υἱόν, ἀλλ' οὐκ αὐτὴν τὴν οὐσίαν. πιστεύω καὶ ὁμολογῶ τὴν μὲν ἁγίαν τριάδα ἐν τρισὶ προσώποις καὶ μιᾷ φύσει χαρακτηρίζεσθαι, τὸν δὲ σαρκωθέντα κύριον ἐν ἑνὶ προσώπῳ καὶ δυσὶ γινώσκεσθαι

34–39 ibid. 47,60–69 ‖ **42–43** cf. ibid. 87,69 sqq. ‖ **43–44** ἄνευ ὠδίνων] cf. ibid. 87,81–84 ‖ **46–47** cf. ibid. 47,66–67 ‖ **47–48** ibid. 2,28; 62,38 ‖ **48–50** ibid. 47,71–73 ‖ **50–51** ibid. 47,78–79 ‖ **52–55** ibid. 48,2–5 ‖ **55–57** cf. ibid. 50,60–68 ‖ **58** ibid. 54,22–23

40 post ἕνα add. χριστὸν **pv⁵b¹** ‖ **41** τῶν συνελθουσῶν] **Diu**: ἐπὶ τῶν συνελθουσῶν ἐπὶ χριστοῦ **pv⁵b¹** ‖ **46** γενητῆς] **Du**: γεννητῆς **ipv⁵b¹** ‖ **47** ἐπείνασε **iu** ‖ **50** post ὅτι add. αὐτὸς **iu** | τὰ[2]] **Diu**: om. **pv⁵b¹** ‖ **54** οἷον – ἄνθρωπος] **Diu**: om. **pv⁵b¹** | δ'] **D**: δὲ cett. ‖ **55** φαμεν om. **iu**

φύσεσι· καὶ ἵνα συντόμως εἴπω, πιστεύω οἷς προκατήγγειλαν 60
οἱ προφῆται, οἷς εἰσηγήσαντο οἱ ἀπόστολοι, οἷς ἐν ταῖς ἑπτὰ
συνόδοις οἱ πατέρες ὡρίσαντο. ἐπὶ τρισὶ προσώποις βεβάπ-
τισμαι, σύμφυτος γεγονὼς τῷ ὁμοιώματι τοῦ θανάτου Χρι-
στοῦ τρὶς καταδὺς εἰς τὸ ὕδωρ, συμμέτοχος καὶ τῆς ἀναστά-
σεως αὖθις ἀναδύς. 65

Πιστεύω καὶ ὁμολογῶ τὴν ἐκ νεκρῶν τριήμερον ἔγερσιν
τοῦ Χριστοῦ, τὴν εἰς οὐρανοὺς μετὰ τοῦ σώματος ἄνοδον,
τὴν μετὰ τοῦ πατρὸς καὶ τοῦ πνεύματος συνεδρίαν, τὴν δευ-
τέραν αὐτοῦ παρουσίαν, τὸ ἀδέκαστον καὶ φρικτὸν δικαστή-
ριον, τὴν τῶν δικαίων ἀπόλαυσιν, τὴν τῶν ἁμαρτωλῶν κόλα- 70
σιν.

Προσκυνῶ καὶ λατρεύω τῇ εἰκόνι τοῦ σαρκωθέντος υἱοῦ
τοῦ θεοῦ, τῷ τύπῳ τοῦ σώματος τῆς ἁγίας αὐτοῦ μητρός,
ταῖς διὰ χρωμάτων μορφαῖς τῶν ἀπ' αἰῶνος εὐαρεστησάν-
των αὐτῷ, οὐκ ἐμμένων αὐταῖς ταῖς σκιαῖς, ἀλλ' εἰς τὸ πρω- 75
τότυπον ἀναφέρων τὴν ὁμοιότητα.

36

Τοῦ αὐτοῦ εἰς τὸ ῥητὸν τοῦ θεολόγου τὸ 'πῶς κυρίως καὶ οὐ κυρίως;'

Τοῦ κυρίως πρὸς τὸ μὴ κυρίως πολλὰς εὑρίσκω διαφοράς.
καὶ πρώτη μέν ἐστιν, ὅταν τὸ μὲν ἐφ' ᾧ τὸ κυρίως λέγεται

63 Rom. 6,5 ‖ **66–69** cf. Ps.-Ioann. Damasc. Vit. Barl. et Ioas. PG 96, 924 A 13–B 2

1–2 Greg. Naz. Or. 29,5 (ll. 3–5 Gallay)

62 ὁρίσαντο **Di** ‖ **68** ante πνεύματος add. ἁγίου **iu** ‖ **73** τῆς – μητρός] **Diu**: τῇ ἀχράντου μητρὸς αὐτοῦ **pv⁵b¹** ‖ **74** post ταῖς add. τῶν ἁγίων **pv⁵b¹** | τῶν – **75** αὐτῷ om. **pv⁵b¹**

36 D 119r–120r ‖ ed. Gautier, "Collections", pp. 66–67 ‖ **4** et **6** ἐφ' ὃ **D**: corr. Wk.

5 τὴν φύσιν ἔχει τοιαύτην, οἵαν τὸ ὄνομα ἐσήμανε καταλλήλως τῷ πράγματι τεθέν· μὴ κυρίως δέ, ὅταν τὸ ἐφ' ᾧ τοῦτο τέτακται ὁμοίωσίν τινα πρὸς τὸ κύριον ἔχει καὶ οὐ ταὐτότητα. ζῷον γοῦν φαμεν καὶ τὸν ἄνθρωπον καὶ τὸ ἀνθρωπείκελον, ἀλλὰ τὸ μὲν κυρίως, ὅτι ἀπὸ τοῦ ζῆν παρωνομάσθη καὶ αὐτὸ
10 τοῦτό ἐστιν, ὅπερ λέγεται, τὸ δὲ οὐ κυρίως, ὅτι μὴ τῆς ζωτικῆς μετέχει δυνάμεως, ὡμοίωται δὲ ἐκείνῳ, ᾧ ἡ δύναμις αὕτη ἐμπέφυκεν κατὰ τὰς τῶν σχημάτων καὶ τῶν μορφῶν ὁμοιότητας. ἑτέρα δὲ τούτων διαφορά, ὅταν τὸ μὲν κυριολεκτοῦντες λέγομεν, τὸ δὲ ἐκεῖθεν λαβὸν τὴν τροπήν· εἰ μὲν οὖν τὸ
15 ναυάγιον ἐπὶ θαλάσσης εἴποι τις, κυριολεκτήσει, εἰ δ' ἐπὶ πραγμάτων μεταρριπτουμένων, μεταφορικῶς ἐρεῖ.

Εἰσὶ δέ τινες καὶ ἄλλαι διαφοραί, ἀλλ' αἱ τοιαῦται σχεδὸν τῷ μεγάλῳ τούτῳ πατρὶ καινήν τινα τῶν ὀνομάτων τούτων εὗρον διαφοράν· ὃ γάρ, φησί, μόνως λέγεται, μὴ μέντοι γε
20 καὶ τὸ τούτου ἀντικείμενον, τοῦτο κυρίως ἐστίν, ὃ δὲ λέγεται ἄμφω, τοῦτο οὐ κυρίως. ὡς συμβαίνειν ἐντεῦθεν ἡμᾶς μὲν μήτε κυρίως πατέρας λέγεσθαι μήτε μὴν υἱούς, διότι τῶν μὲν γεννώμεθα, τοὺς δὲ γεγεννήκαμεν, καὶ τῶν μὲν υἱεῖς ἐσμεν, ἀφ' ὧν τὴν γένεσιν ἔχομεν, τῶν δὲ πατέρες, οἷς τὴν εἰς τὸ
25 εἶναι πρόοδον παρεχόμεθα· κἂν γὰρ ἐκεῖνος πρὸ τοῦ υἱοῦ τέθνηκεν, ἀλλ' ὅμως καὶ τεθνηκότος αὐτοῦ τοῦ πατρὸς υἱὸς λέγεται, καὶ τοῦ υἱοῦ προαναλυθέντος πολλάκις πατήρ, οὐχ ὅτι υἱός ἐστι καὶ πατήρ, ἀλλ' ὅτι ταῦτα ἐγένετο. κατελείφθησαν γοῦν αὗται αἱ σχέσεις ὀρφαναί, καὶ τῶν πραγμάτων
30 ἀπολωλότων πατὴρ αὐτὸς λέγεται καὶ υἱός. διὰ ταῦτα τοίνυν ἡμεῖς οὔτε πατέρες ἐσμὲν κυρίως οὔτε υἱεῖς· οἷς δὲ οὐ προστρίβεται ταῦτα τὰ ἐλαττώματα, ἐκείνων ὁ μὲν πατὴρ κυρίως, ὁ δὲ υἱὸς ὄντως υἱός· ὁποῖοι τυγχάνουσιν ὁ ἐπὶ πάντων θεός, ὁ ἀληθινὸς πατήρ, καὶ ὁ τούτου μονογενὴς υἱός, ὁ τοῦ

22 ibid. 80A10 ‖ **28–29** ibid. 80B1–2 ‖ **33–34** Rom. 9,5

13 διαφορᾶ **D** ‖ **16** μεταριπτ. **D** ‖ **26** τέθνηκεν Wk.: τεθνηκός **D**

πατρὸς ὅρος καὶ λόγος, ἡ αὐθυπόστατος σοφία, ὁ πρὸ πάν- 35
των βουνῶν κατὰ τὴν προφητικὴν ῥῆσιν τῷ πατρὶ γεννηθείς.

37

Τοῦ αὐτοῦ πρὸς τοὺς μαθητὰς περὶ τῆς ἐγγαστριμύθου

Ἀπὸ τῶν ἐγγαστριμύθων πνευμάτων αἱ ἐγγαστρίμυθοι πά-
λαι τὴν κλῆσιν εἰλήχασι· τουτὶ δὲ τὸ ὄνομα βραχύτατον μὲν
καὶ καθωμιλημένον τοῖς πλείοσιν, οὔπω δὲ οὐδεὶς ἔγνωκε τοῦ
ὑποκειμένου τὴν δύναμιν, ὅσα γε ἐμὲ εἰδέναι, πολλαῖς ἐντυ- 5
χόντα περὶ αὐτοῦ ἐξηγήσεσιν. οὐ γὰρ πρὸς ἀρχὰς ἐγνωσμέ-
νας ἀναβεβήκασιν οἱ ἐξηγησάμενοι τὴν φωνήν, ἵν' ἐκεῖθέν τι
πλέον εἴποιεν τῶν πολλῶν, ἀλλ' ἁπλῶς οὕτως τῷ ὀνόματι
προσεσχηκότες αὐτὸ ἐφ' ἑαυτοῦ ἡρμηνεύκασιν, οὐδ' ὁπόθεν
ἡ φωνὴ τῆς ἐγγαστριμύθου προσειρηκότες, οὔτ' εἰ καὶ προσ- 10
ειρήκασι, τὸν λόγον τῆς κλήσεως ἀναπτύξαντες. ἐγὼ δὲ
ἀπορρητοτέρων μὲν τοῖς πολλοῖς ἅψομαι λόγων ἑρμηνεύων
τὸ ὄνομα, οὐ πόρρω δὲ τῆς φιλοσόφου διατριβῆς. φιλοσοφίᾳ
μὲν γὰρ οὐδὲν ἄρρητον, ἀλλὰ καὶ τὰ δοκοῦντά πως εἶναι
ἀνεκφοίτητα ὥσπερ ἐπῳδαῖς ἢ θελκτηρίοις ἔξεισί τε καὶ 15
ἀπογυμνοῦται τοῖς λόγοις αὐτῆς.

Ὅτι μὲν οὖν εἰσιν ἔνυλα πνεύματα τῆς ἀγγελικῆς πάλαι
ἀπολισθήσαντα τάξεως, ὁμολόγημα τοῦτο κείσθω κοινόν τε
καὶ ἀπαράβατον παρὰ τῆς ἡμετέρας γραφῆς· καὶ τὸ βασκαί-
νειν δὲ ἡμῖν ἀνιοῦσιν ὅθεν ἐκεῖνα καταπεπτώκασι, καὶ τοῦτο 20
παρ' ἐκείνης εἰλήχαμεν. τῶν δ' ἄλλων, ἃ μέλλω ἐρεῖν, τὰ μὲν
Χαλδαίων βίβλοι διδάσκουσι, περὶ δὲ ἃ Αἰγύπτιοι πεπραγμα-

35–36 Prov. 8,25
17–18 cf. 2 Petr. 2,4

37 **k** 162v–164r || ed. Littlewood, *JÖB* 40 (1990) 228–231

τεύκασιν, ἔστι δὲ ἃ καὶ Ἰουλιανὸς ὁ συστρατεύσας ποτὲ Τραϊανῷ ἐπὶ Δάκας ἐλαύνοντι ἠκρίβωσε καὶ ἀνέγραψε, τὴν
25 ἀναγραφὴν τέχνην ἱερατικὴν ἐπιγράψας. ἔστι δὲ ὁ λόγος οὔτε πεζὸς οὔτ' εὔληπτος, ἀλλ' ἐπῆρται μὲν μέτρῳ ἡρωϊκῷ, ἀσυμφανὴς δὲ ἡ λέξις αὐτῷ· καὶ τῆς ἐννοίας οἱ πλείους κατεμαντεύσαντο, μόνος δὲ Πρόκλος ὁ Συριανῷ φοιτήσας τῷ πάνυ καὶ Πλουτάρχῳ συνεσχολακώς (ἔστι δὲ οὗτος οὐχ ὁ
30 τοὺς παραλλήλους τῶν βίων συγγεγραφώς, ἀλλ' ὁ τὸν τοῦ Πλάτωνος Γοργίαν ἡρμηνευκώς)· οὗτος τοίνυν ὁ Πρόκλος ὀλίγα μὲν τῶν Ὀρφικῶν λόγων, ὅλην δὲ τὴν ἱερατικὴν τέχνην ἐξηγησάμενος μερίδα τινὰ τῶν δαιμόνων περὶ τὰ ἡμεδαπὰ σώματα ἔχειν φησὶ καὶ εἰσδύνειν ἐς αὐτὰ ἀποφαίνεται, καὶ
35 τὸν λόγον διδάσκει τῆς παρεμπτώσεως.

Ἀλλ' οὗτος ἡμῖν ἀναβεβλήσθω τὰ νῦν· προστίθησι δέ, ὅτι οὐχ ἕκαστος παντὸς τοῦ ἡμετέρου κατάρχει σώματος, ἀλλὰ τῷ μὲν διὰ ὤτων ἡ εἴσοδος, καὶ εἰσιὼν αὐτόθι που ἐπὶ τοῦ κοχλιοειδοῦς πόρου κάθηται, ὁ δὲ διὰ τῆς ῥινός, καὶ ἄλλος
40 διὰ τοῦ στόματος, καὶ ἕτερος διὰ τῶν ἐν ταῖς κεφαλαῖς ῥαφῶν εἴσεισιν, οἱ δὲ καὶ διὰ τῶν ἀφανῶν πόρων ἐπὶ τὰ ἐντὸς χωροῦσι τοῦ σώματος· καὶ ὁ μὲν ἐφ' ἥπατος κάθηται καὶ τὸ σπλάγχνον πρὸς ἐπιθυμίαν κινεῖ, ὁ δὲ καρδιακός ἐστι καὶ πρὸς θυμὸν ἐγείρει τὸν κάτοχον, ὁ δὲ κακοῖ τοὺς μήνιγγας ἢ
45 τὴν παρεγκρανίδα καὶ θολοῖ τὰς ἐν αὐτοῖς ὀχετηγοὺς κοιλίας καὶ τὸ πνεῦμα μολύνει τὸ ψυχικόν· ὁ δέ τις τὴν σιτοδόχον γαστέρα ποιεῖται οἴκημα καὶ ἐμφιλοχωρεῖ τῷ κώλῳ, τοῦτο δὲ ⟨ἐν⟩ τοῖς παχέσιν ἐντέροις ἠρίθμηται, καὶ οἱ ἀλγοῦντες τὸν τόπον τὴν κωλικὴν νοσοῦσι διάθεσιν. ταυτὶ δὲ τὰ πνεύματα
50 ἔχει μὲν καὶ φυσικὰς προσηγορίας, τάς γε πλείους ἀρρήτους ἡμῖν, καὶ ἀπὸ τῶν πρὸς ἡμᾶς δὲ συμπαθειῶν παρὰ τὰ μέρη

23–24 cf. Psell. Phil. min. I, op. 3,141–144 (ubi Μάρκῳ pro Τραϊανῷ); K.-D. I 241,25–32 || **33–35** cf.? Psell. Or. hag. 4,676–681; Procl. Art. hier. 151,14–23 Bidez

25 ἀναγράψας **k**: corr. Wk. || **48** ἐν add. Wk.

ἐφ' ὧν βεβήκασιν ὀνομάζονται. ἡπατῶδες γοῦν πνεῦμα καὶ καρδιακὸν ἕτερον καὶ παρεγκράνιον καὶ ὠτόρρυτον καὶ ἐγγαστρίμυθον λέγεται.

Περὶ μὲν οὖν τῶν ἄλλων οὐ τοῦ παρόντος ἐστὶ καιροῦ λέ- 55
γειν· τὸ δὲ ἐγγαστρίμυθον (λεγέσθω γὰρ οὕτως) 'ἐπ' ὀμφαλοῦ γαστρὸς' δεδύνηται κατὰ τὸν Ἰώβ, πλὴν ὅσον ἐκεῖνο μὲν πρὸς ἀφροδίσια τὴν φύσιν κινεῖ καὶ πυροῖ τοὺς νεφρούς, τοῦτο δὲ οἷς παρεμπίπτει ἐξογκοῖ μὲν τὸ σπλάγχνον, τὰς δὲ ὁρμὰς οὐκ ἐπεγείρει τῆς φύσεως. ἐπεὶ δὲ ἡ γαστὴρ μέση τοῦ 60
σώματος ἵδρυται, τὰ μὲν καρδίᾳ συμπαθοῦσα, τὰ δὲ ἥπατι, τὰ δὲ ἐγκεφάλῳ (δέχεται γὰρ κἀκεῖθεν συζυγίαν νεύρων, δι' ὧν ἔχει τὴν αἴσθησιν), τὸ ἐν αὐτῇ ἐνεργοῦν πνεῦμα ὁμοῦ τε ταύτην κακοῖ καὶ συμπαθεῖν δια[τίθησι] τὸν ἐγκέφαλον· ἐξιστᾷ τοίνυν αὐτὸν καὶ ἀλλοιοῖ καὶ οὐκ ἐᾷ νήφειν τὸν κάτοχον. 65
πᾶ[ς δὲ] ὁ ἐκεῖθεν ἐνεργούμενος δύναμίν τε ἔχει κατασιγάζειν τὸ πνεῦμα καὶ δύναμιν ἐπεγείρειν καὶ οὐκ ἄν ποτε παρενεχθῇ μὴ προῃρημένος. ἀλλ' οἵ γε πλεῖστοι τῶν οὕτω τυραννουμένων, οὐ τὴν τυραννίδα ἀποδυρόμενοι, ἀλλ' ἔρωτα τῆς προγνώσεως ἴσχοντες, τοῖς πυνθανομένοις περὶ ὅτου βούλοιντο 70
χρηστηριάζουσιν ὥσπερ καὶ προκαταγγέλλουσι τὰ ἐσόμενα, τὰ μὲν αὐτοὶ λέγοντες, τὰ δ' ἑτέρους εἰσάγοντες προαγορεύοντας.

Καὶ τό γε θαυμασιώτερον, ὅτι τὸ ἄρρεν γένος ἧττον ἁλίσκεται τούτῳ τῷ πνεύματι. καὶ τὴν μὲν ἀληθῆ αἰτίαν οὔπω εὕ- 75
ρηκα, πείθουσι δέ με λόγοι φιλόσοφοι, ὅτι ὅπερ παρ' ἡμῖν τὸ ἄρρεν καὶ θῆλυ διαφοραῖς σωμάτων ἐστί, τοῦτο παρὰ τοῖς πνεύμασιν ἠθῶν μεταλλαγαῖς καὶ καταστάσεων ἑτερότησι, καὶ ὅτι κομψῶς τοῖς Ἕλλησι τὰ θήλεα τῶν ὀνομάτων ἐπὶ τούτων συντίθενται· συμπαθοῦντα γοῦν ταῦτα τοῖς ὁμοίοις 80
τὴν φύσιν καταλλήλως πρὸς ἐκεῖνα χωρεῖ. ἔστι γοῦν καὶ τὸ ἐγγαστρίμυθον πνεῦμα χαῦνον καὶ διερρυηκός, καὶ διὰ ταῦτα ταῖς θηλείαις συμπαθεῖ φύσεσιν.

Ἐγγαστρίμυθον δὲ αὐτόθεν ὠνόμασται, ὅτι παρακαθήμε-

56–57 Job 40,16

85 νον τῇ γαστρὶ ἐκεῖθεν τὰς προρρήσεις μυθεύεται, ὀργάνῳ τῷ κατόχῳ χρώμενον. τοῦτο δὲ τὸ γένος ἀφθόνως πάλαι τοῖς Ἑβραίοις ἐπεχωρίαζε, καὶ τῶν παρ' αὐτοῖς γυναικῶν αἱ πλείους ἀθρόον ἀνεβακχεύοντο καὶ σοβάδες διὰ μέσης τῆς πόλεως ἔθεον· τοῦ γὰρ γένους τῶν θείων καταφρονήσαντος
90 παρρησίαν ἐπὶ τούτῳ τὰ πονηρὰ εἰλήχασι πνεύματα· καὶ ὁ Ἰσραήλ, δέον παρὰ θεοῦ τὴν γνῶσιν τῶν ἐσομένων λαμβάνειν, οἱ δὲ κληδόσι καὶ ἐγγαστριμύθοις προσεῖχον καὶ τὸ ἐφοὺδ μάτην τῇ ἱερατικῇ στολῇ ἐπῃώρητο.

Ὁ δὲ τοῦ Κὶς υἱὸς Σαούλ, ὁ 'εὐμεγέθης' ἐκεῖνος καὶ ὄντως
95 'ὑπερωμίας', πρῶτος βασιλεὺς τοῦ γένους ἀναρρηθείς, τοῦτο μόνον τῆς χρίσεως ἀνταπέδωκε τῷ θεῷ, τὰς ἐγγαστριμύθους ἀπελάσας τῆς πόλεως. ἀλλ' οὐ μέχρι παντὸς τὸ δόγμα τῆς ὑπερορίας ἐτήρησεν, ἀλλ' αὐτὸς πρῶτος τὰ δόξαντα παραβέβηκεν. ἐπειδὴ γὰρ ἀπὸ τῆς πρώτης εὐδαιμονίας ὥσπερ
100 ψάμμου ποδῶν ὑποσπασθείσης ὑπέρρει τὰ τῆς βασιλείας αὐτῷ, πονηρῷ γεγονότι περί τε τὸν βασιλεύσαντα κύριον καὶ τὸν εὐηργετηκότα Δαυίδ (τῷ μὲν γὰρ ἀποστασίαν ὤδινε, τῷ δὲ ἐπανάστασιν), ὁ δὲ χρίσας Σαμουὴλ ἐτεθνήκει, τὰ δὲ τῶν ἀλλοφύλων ἐκράτει καὶ πάντα ἦν ὁμοῦ τὰ δεινά, δέον προσ-
105 ιέναι τοῖς δήλοις κἀκεῖθεν γνῶναι τὴν ἐκ τοῦ πολέμου τύχην, ὁ δὲ τὰς ἐγγαστριμύθους ἐζήτει καὶ ἐπὶ τῷ κατ' αὐτῶν δόγματι μετεμέλετο. ὡς δέ τις αὐτῷ μίαν ἐν τῇ πόλει κατακεκρύφθαι δέει τοῦ δόξαντος εἴρηκεν, ἐπ' αὐτὴν ἰέναι δεῖν ἔγνω καὶ οἷον μαντεύεσθαι. καὶ ἵνα μὴ φοβήσῃ τὴν γάστριν
110 ἰδών, τῆς ἀμφιάσεως ἀλλάξας τὸ βασιλικὸν τῇ σοβάδι προσῆλθε καὶ ὡς περὶ ἑτέρου πυνθάνεται τοῦ Σαούλ, καὶ ἐρωτᾷ περὶ τοῦ πολέμου καὶ καταβιάζεται ταύτην ἀναβιβάσαι αὐτῷ

94–95 1 Regn. 9,1–2 ‖ **96** χρίσεως] ibid. e.g. 9,16; **11,15** ‖ **96–97** ibid. 28,3; 28,9 ‖ **105** δήλοις] ibid. 28,6 ‖ **106–117** ibid. 28,7–13

93 ἐπῃώρητο] παρει sscr. **k** ‖ **96** χρίσεως Littlewood: κρίσεως **k** ‖ **110** ἰδών] ἰδοῦσαν vel ἐλθὼν temptaverit Littlewood

τὸν Σαμουήλ, εἴ ποι δύναιτο, ἀπὸ τῶν κευθμώνων τῆς γῆς. ἡ δὲ τέως μὲν ἀνεβάλλετο, τὸν φόβον προβαλλομένη καὶ τὴν τοῦ βασιλέως ὀργήν. ὡς δὲ πεισθεῖσά ποτε ἀνεβάκχευσεν 115 ἑαυτὴν καὶ τῆς τέχνης κατήρξατο καὶ τὸ πνεῦμα ἠρέθιστο καὶ ἡ τοῦ νοῦ περιήλλακτο δύναμις, αὐτίκα δὴ τὸν προσομιλοῦντα ἔγνω καὶ τοὔνομα εἴρηκε καὶ μικροῦ δεῖν ἀποπεπνεύκει, εἰ μὴ ὁ Σαοὺλ ἀνεκτήσατο.

Καὶ μέχρι μὲν τούτου ὁ λόγος εὔδρομος, τὰ δ' ἐντεῦθεν 120 ἄδηλα πάντα καὶ ἄγνωστα. ἐφάνη γὰρ ἀπὸ γῆς ἀναβαίνων μετὰ τῆς στολῆς καὶ τοῦ σχήματος, ἀπεικασμένος θεῷ, καὶ καταδειμαίνει τὸν Σαοὺλ καὶ τὴν τόλμαν αὐτῷ ὀνειδίζει καὶ προαγορεύει τὰ μέλλοντα καὶ ὁπόσα αὐτῷ τῇ ἐφεξῆς ἡμέρᾳ συμβέβηκεν. ἀλλὰ ταῦτα μὲν ἐν ἄλλοις ἐροῦμεν καιροῖς· τὸ 125 δὲ τῆς ἐγγαστριμύθου ὄνομα ἀφ' ὧν εἰρήκαμεν εἴληπται. πλὴν ἐγὼ οὐ πάνυ περὶ τῶν ἀδήλων διισχυρίζομαι, ἀλλ' ὅσα μὲν ἀναγνοὺς ἔσχηκα, ταῦτα δὴ κοινοῦμαι καὶ πρὸς ὑμᾶς, οὔτε δογματίζων οὔτε ἀποφαινόμενος, μόνον δὲ πολυμάθειαν ἐνδεικνύμενος, καὶ τοῦτο δι' ὑμᾶς. οὐ γὰρ ἔγωγε φιλοτιμοῦ- 130 μαι, πάλαι τὴν περὶ τοῦτο σπουδὴν καταλελυκώς, τὸ δ' ἔχειν ἐπιστήμην καὶ τούτων οὐ πάνυ ἀποπροσποιοῦμαι. περὶ γὰρ τῶν ἀρρήτων καὶ ἀπορρήτων καὶ ὁ βραχύ τι κατειληφὼς ἐπαίνων ἄξιος, ὅτι τῶν πολλῶν οὐδὲ τὰ ἐν ποσὶ μόνον ὁρώντων αὐτὸς ὑπερνεφὴς ὥσπερ γενόμενος καὶ τὰ ἐντὸς τοῦ αἰ- 135 θέρος ἑώρακεν.

120–125 ibid. 28,13–19

113 που maluit Littlewood || **126** utrum ἀφ' an ἐφ' incertum **k**

38

Τοῦ Ψελλοῦ περὶ τοῦ διὰ τί εἰσιν οἱ ἄγγελοι πτερωτοὶ καὶ ἐστεμμένοι καὶ ἀνθρωπόμορφοι καὶ σφαῖραν ἐν ταῖς χερσὶ φέροντες, καὶ δι' ἣν αἰτίαν μνήμην αὐτῶν ποιούμεθα τῇ β' τῆς ἑβδομάδος ἡμέρᾳ, τῇ γ' δὲ τοῦ προδρόμου καὶ τῶν καθ-
5 εξῆς ἄχρι τῆς ζ'

Περὶ μὲν τοῦ ἀνθρωπομόρφους εἶναι τοὺς θείους ἀγγέλους ἰστέον ὅτι τοῦτο τὸ λογικὰ ζῷα τούτους εἶναι δηλοῖ· μόνος γὰρ ὁ ἄνθρωπος ἐν πᾶσι τοῖς ζῴοις νοῦ καὶ λόγου χάριν πεπλούτηκε. τὸ δὲ πτερωτοὺς εἶναι τὸ ἀνωφερὲς αὐτῶν αἰνίττε-
10 ται καὶ ἀνατατικὸν καὶ οὐράνιον, ὡς καὶ τὸ σφαίρας ἐπειλῆφθαι τὸ ὀξυκίνητον τούτων· τοιοῦτον γὰρ ἡ σφαῖρα, βραχεῖ τινι μορίῳ τοῦ ἐπιπέδου προσαπτομένη καὶ τὸ ἀχρόνως καὶ ῥοπῆς τάχιον ἥκειν ἔχουσα ἔνθα καὶ βούλοιτο· τὰ γὰρ ἡμέτερα καὶ ἔγχρονα καὶ νωχελῆ, βρίθοντος τοῦ γεώδους
15 σκήνους καὶ κάτω ῥέοντος. ἡ δὲ λεπτὴ ταινία τῆς κεφαλῆς τὴν ἀφθορίαν καὶ ἁγνείαν τῶν ἀχράντων οὐσιῶν ὑποφαίνει· σύνηθες γὰρ ἐκ πολλοῦ, μάλιστα τοῖς ἀρχαίοις, τὰς παρθένους οὕτως ἐστάλθαι καὶ ἀσκεπεῖς προϊέναι μετὰ λεπτοῦ τῆς κεφαλῆς διαδήματος διὰ τὸ τὰς γυναῖκας σύμβολον τῆς δου-
20 λείας ἐπὶ τῆς κεφαλῆς περιφέρειν κατὰ τὸν θεσπέσιον Παῦλον. ἡ γοῦν ταινία ἡ συνδέουσα τὰς παρθενικὰς κεφαλὰς τὸν

6–9 cf. Ps.-Dionys. Cael. hier. 15,3 PG 3, 329C8–D4 || **9–10** ibid. 332C14–D2 || **14–15** Sap. 9,15 || **19–20** 1 Cor. 11,9–10

38 S 342[r-v] (**S**[s] = manus posterior scripturam evanidam superscribens) **v**[6] 199[r]–200[r] **b** 244[v]–246[v] || ed. Snipes, *Gonimos*, pp. 200–204 || **1** Τοῦ Ψελλοῦ] mg. **b** || **4–5** τῶν καθεξῆς ἄχρι τῆς ζ' **S**: καθεξῆς ἕως τῶν ζ' **v**[6]: τῶν καθολικῶν ἄχρη τῆς εὐδόμης **b** || **10** ἐπειλῆφθαι **S** p.c.: ἐπιλῆφθαι **S** a.c., **v**[6]**b** || **11** τοιοῦτον **Sb**: τοιοῦτο **v**[6] || **13** ἔχουσα **S**: ἔχουσαι **v**[6]**b** | βούλοιτο **Sb**: βούλοιντο **v**[6] || **14** ἔχρονα **v**[6]: ἔγρονα **S**: ἔχρονα **b** a.c. || **15** καὶ **v**[6]**b**: om. **S** || **17** πολλοῦ **v**[6]**b**: πολλῶν ut vid. **S** || **18** λεπτοῦ **v**[6]**b**: λεπτὸν **S**[s]

στέφανον ἔτι τῆς ἀφθαρσίας περικεῖσθαι ταύτας μυστικῶς ὑπαινίττεται.

Ἀλλὰ περὶ μὲν τούτων τοσαῦτα· ἐπεὶ δ' ἐρεῖν προεθέμεθα καὶ δι' ἣν αἰτίαν μνείαν τῶν νοερῶν δυνάμεων τῇ δευτέρᾳ 25 ἡμέρᾳ ποιούμεθα, ῥητέον καὶ περὶ τούτου. ἡ κυριακὴ πρώτη λέγεται καὶ ὀγδόη, πρώτη μὲν τῶν μετ' αὐτήν, ὀγδόη δὲ τῶν πρὸ αὐτῆς· καὶ ἐπεὶ αὕτη πρώτη καὶ μία καλουμένη τῇ λαμπρότητι σεμνύνεται τῆς δεσποτικῆς ἀναστάσεως, πρῶτον δέ ἐστι φῶς ὁ θεός, δεύτερον δὲ φῶς ἄγγελος, ἀπαύγασμα τοῦ 30 πρώτου φωτός, εἰκότως ἡ δευτέρα τῆς ἑβδομάδος ἡμέρα τὰ δεύτερα φῶτα τιμᾷ ὡς πρῶτα τῆς πρώτης φωτοχυσίας ἔσοπτρα. ἀλλὰ καὶ ὁ Ἑλληνικὸς λόγος τὴν πρώτην μὲν ἀπονέμει τῷ ἡλίῳ, τὴν δὲ δευτέραν τῇ σελήνῃ· ὅπερ γάρ ἐστιν ἐν τοῖς νοητοῖς ὁ θεός, τοῦτο ἐν τοῖς αἰσθητοῖς ὁ ἥλιος, καὶ ὥσπερ ὁ 35 ἄγγελος ἀπορροή τίς ἐστι τοῦ πρώτου φωτὸς κατὰ μέθεξιν ἔχων τὴν ἔλλαμψιν, οὕτω καὶ ἡ σελήνη καθ' ἑαυτὴν ἀλαμπὴς οὖσα καὶ ἀφώτιστος, ἐκ τῶν ἡλιακῶν ἀκτίνων λαμβάνουσα τὸ σέλας κατ' ἀνάκλασιν ἡμῖν τὸ σεληναῖον φῶς ἐπιχορηγεῖ. διὰ τοῦτο τοίνυν μετὰ τὸν ὕμνον καὶ τὴν δοξολογίαν τῆς 40 πρώτης καὶ αὐτοφυοῦς αἴγλης ἐν τῇ πρώτῃ τὴν δευτέραν κατὰ μέθεξιν ἐν τῇ δευτέρᾳ γεραίρομεν.

Ἐπεὶ δὲ τὰς ἡμέρας ἑπτὰ λέγουσι καὶ οἱ Ἕλληνες εἶναι πρὸς ἑαυτὰς ἀνακυκλουμένας διὰ τὸ τοσούτους εἶναι καὶ τοὺς πλανήτας καὶ τούτων ἑκάστῳ τῶν ἡμερῶν ἑκάστην ἀνα- 45 τιθέασιν, οὐδέν μοι παρέλκον δοκεῖ καὶ περὶ τούτων ἐρεῖν. τὴν μὲν οὖν τρίτην Ἄρης ὁ πολεμόκλονος παρὰ τοῖς Ἕλλησιν

30–31 cf. Greg. Naz. Or. 44,3 PG 36, 609B5–6 ‖ **35** id. Or. 40,5 (ll. 3–4 Moreschini) ‖ **36** ibid. ll. 10–11

24 δ' **Sb**: δὲ **v**[6] ‖ **28** ἐπὶ **b** ‖ **30** ἄγγελος **S**[s]**b**: ἄγγελ( ) **v**[6] ‖ **35** ὥσπερ **S**[s]**v**[6]: ὤπερ **b** ‖ **39** ἡμῖν **v**[6]**b**: ἡμῶν **S**[s] | σεληναῖον **S**[s]**b**: σεληνιαῖον **v**[6] ‖ **41** αὐτοφυοῦς **Sv**[6]: αὐτοφανοὺς **b** ‖ **43** ἐπὶ **b** ‖ **44** ἑαυτὰς **v**[6]**b**: fort. ἑαυτὴν ex ἑαυτῆς **S**[s] ‖ **45** ἑκάστην Snipes: ἑκάστ( ) **v**[6]: ἑκάστη **Sb** ‖ **46** δοκεῖ] **S**: ἐστὶ **b**: om. **v**[6] | ἐρεῖν **Sb**: εἰπεῖν **v**[6]

ἔλαχεν· ἡ ἐκκλησία δὲ μακαρίζει τὸν πρόδρομον τρίτον φῶς
ὑλαῖον ὑπάρχοντα, ὃς ὡς λέων δίκαιος ὢν ἐπεποίθει καὶ ὡς
50 πῦρ κατὰ τῶν ἀναξίων ἀποτόμως ἐχώρει καὶ τοῖς ἀχυρώδεσι
καὶ ἀκάρποις τμητικὴν ἀξίνην διαπειλούμενος εἴδετο.

Τὴν δὲ τετάρτην καὶ ἕκτην τοῖς σταυρωσίμοις καὶ θείοις
ᾄσμασι καταχηλούμεθα καὶ κατανυσσόμεθα· παρὰ δὲ τοῖς
Ἑλληνίζουσιν ὁ κερδῷος καὶ δόλους ῥάπτων Ἑρμῆς ἐκληρώ-
55 σατο. καθ' ἣν ὁ δόλιος μαθητὴς μετὰ τῶν εἰς τὸ γλωσσόκο-
μον βαλλομένων χρημάτων ἔτι καὶ τὴν τιμὴν τοῦ ὑπὸ δούλου
ὡς δούλου πραθέντος δολίως ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς
ἀπεκέρδησε.

Τὴν δὲ πέμπτην τοῦ Διὸς εἶναι λέγουσιν, ὃς τὸν πατέρα
60 Κρόνον παύσας τῆς βασιλείας αὐτὸς τὴν πᾶσαν ἀρχὴν καὶ
δυναστείαν περιεζώσατο. ὁ δὲ χορὸς τῶν ἀποστόλων τὸν πα-
τέρα Μωσέα παύσας τῆς ἐξουσίας, νομοθετοῦντα πρόσκαιρα
καὶ ἀτελῆ διὰ τὴν τῶν παιδαγωγουμένων ἀσθένειαν, αὐτὸς
διὰ δευτέρας νομοθεσίας τὰ τέλεια παρέδωκε τῆς εὐσεβείας
65 μυστήρια ('τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ
τῷ πιστεύοντι'), καὶ οὕτω κατέστησαν ἄρχοντες καὶ βασιλεῖς
πάσης τῆς γῆς οἱ ἀπόστολοι.

Τῷ δὲ Ἑωσφόρῳ τὴν ἕκτην ἀφιεροῦσι, τούτῳ δὲ καὶ τὸ τῆς
Ἀφροδίτης ὄνομα περιάπτουσι, διότι διαθέσεως ἐρωτικῆς καὶ
70 φιλίας ἐπιστατεῖ καὶ κάλλη περιαθρεῖ καὶ εὐχροίας καὶ
ὡραιότητα. κατὰ ταύτην δὲ παρ' ἡμῖν ὁ 'ὡραῖος κάλλει
παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων' εἰς τὸ τοῦ σταυροῦ ξύλον

49 Prov. 28,1 ‖ **50–51** cf. Matth. 3,10 et 12 ‖ **55–56** Ioann. 12,6 ‖ **65–66** Rom. 10,4 ‖ **71–72** Ps. 44,3

48 ἔλαχεν $\mathbf{v^6 b}$: ἔλεγον $\mathbf{S^s}$ ‖ **49** ὡς[1] $\mathbf{v^6}$: ὁ **Sb** | δίκαιος post ὢν trp. $\mathbf{v^6}$ ‖ **51** τμητικὴν Wk.: τμητὴν codd. ‖ **53** παρὰ $\mathbf{v^6}$: περὶ $\mathbf{S^s b}$ ‖ **55** τῶν $\mathbf{v^6 b}$: τὰς $\mathbf{S^s}$ ‖ **56** ὑπὸ δούλου **S**: ὑπὸ δούλ( ) $\mathbf{v^6}$: ὑποδούλου **b** ‖ **58** ἀπεκέρδισε ut vid. $\mathbf{v^6}$ ‖ **60** παύσας $\mathbf{v^6 b}$: παύσαν $\mathbf{S^s}$ | βασιλείας] evan. **S** ‖ **68** τούτῳ **S**: τοῦτο **b**: τούτ( ) $\mathbf{v^6}$ ‖ **70** εὐχροίας $\mathbf{S v^6}$: εὐκλείας **b** ‖ **71** ὡραιότητα $\mathbf{v^6 b}$: -τας **S** | post παρ' ἡμῖν add. καὶ $\mathbf{v^6}$

ἐκρέματο, ὃν καὶ ὡς 'ῥομφαίαν ἐπὶ τῶν μηρῶν ἑαυτοῦ περιέζωσε τῷ κάλλει ἑαυτοῦ καὶ τῇ ὡραιότητι'.

Καὶ τὸ σάββατον τῷ Κρόνῳ πάλιν ἀποτέτακται παρ' αὐ- 75
τῶν, ὃς τῆς ἀρχῆς ἐκπεσὼν ἀλύτοις ὑπεβλήθη δεσμοῖς καὶ πεδηθεὶς τεταρτάρωται. ἡ ἐκκλησία δὲ τοῦτο τοῖς κεκοιμημένοις καὶ πάσης πράξεως πεπαυμένοις καὶ ταῖς σειραῖς τοῦ Ἅιδου κατεχομένοις ἀφιεροῖ, δεήσεις ἱκετηρίους ὑπὲρ αὐτῶν ποιουμένη καὶ τὸ θεῖον δι' αὐτῶν ἐξιλάσκουσα. 80

39

Τοῦ Ψελλοῦ

[.....................................] ἄφατον παρέχεται [.............................. δύ]ναμιν. αὐτίκα γὰρ τὸ 'ἀναστήσομαι καὶ διαμεριῶ Σίκιμα' καὶ ὁ Γαλαὰ[δ καὶ] ὁ Μανασσῆς καὶ ὁ Ἐφραὶμ καὶ ὁ Μωὰβ Ἑλληνικώτερον ἐξερμηνευόμενα 5
ὑποκινήσει τὸν νοῦν ἡμῶν εἰς ἀπορρητοτέρας θεωρίας καὶ κρείττονας. ἑρμηνεύεται γὰρ Σίκιμα μὲν ὠμίασις, Γαλαὰδ δὲ ἀποκάλυψις, καὶ Μανασσῆς λήθη, καὶ Ἰδουμαία μὲν αἱματώδης πηλός, Ἐφραὶμ δὲ πλατυσμός. 'ἀναστήσομαι' γάρ φησιν

73–74 ibid. 44,4 ‖ **78–79** cf. 2 Petr. 2,4
3–4 Ps. 59,8 ‖ **7** Psell. Theol. I, opusc. 35,33–34; Max. Conf. Expos. in Ps. LIX PG 90, 864C11–12 ‖ **7–8** Psell. op. cit. 39–40; Max. 865B7–8 ‖ **8** Psell. ibid. 40; Max. 865B8 ‖ **8–9** Psell. ibid. 61; Max. 868A11 ‖ **9** Psell. ibid. 40; Max. 865B13–14

73 τὸν μηρὸν *LXX* | ἑαυτοῦ **Sb**: αὐτοῦ **v**^{6} ‖ **75** post σάββατον add. δὲ **v**^{6} ‖ **75** αὐτὸν **b** ‖ **76** ὑπεβλήθη **Sv**^{6}: ἐπεβλήθη **b** ‖ **77** ἡ ἐκκλησία δὲ **S**: ἡ δὲ ἐκκλησία **v**^{6}**b** ‖ **79** ἀφιεροῖ **v**^{6}: -εῖ **S**: -οῖς **b** | ὑπὲρ om. **b** ‖ **80** ποιουμένη **Sb**: ποιουμένους **v**^{6} | ἐξιλάσκουσα **Sb**: -ουσιν **v**^{6}
39 1 17^{r-v} mg. ‖ ined. ‖ **2** si catalogi descriptioni credendum est, initium habuerit **1** τὰ παρ' Ἑβραίοις ὀνόματα εἰς τὴν Ἑλλάδα μεθερμηνευόμενα ἄφατον παρέχεται τοῖς ἀλληγορεῖν βουλομένοις δύναμιν· ‖ **3** ἀναστήσομαι] ἀγαλλιάσομαι LXX ‖ **8** ἰδουμαῖα cod.

10 ὁ θεὸς ‘καὶ διαμεριῶ Σίκιμα’, ὅπερ ἐστί, ‘διακληρώσω τοῖς ἀνθρώποις τὰς ἐπιπόνους καὶ πρακτικὰς ἀρετάς’· εἰώθαμεν γὰρ τοῖς ὤμοις ἀχθοφορεῖν, καὶ τὸ μέρος δὲ τοῦτο τοῦ σώματος πράξεώς ἐστι σύμβολον. ἐπεὶ δὲ μετὰ τὴν τοιαύτην εἰς τὸ καλὸν πρόβασιν ἡ τῶν φυσικῶν θεωρημάτων ἐπανατέλλει
15 αὐγή, ὧν ἐπισφαλὴς ἡ πέρα τοῦ δέοντος πολυπραγμοσύνη, ‘καὶ τὴν κοιλάδα’ φησὶ ‘τῶν σκηνῶν διαμετρήσω’. κοιλὰς δὲ σκηνῶν ἐστιν ὁ σωματικὸς κόσμος πρὸς τὸν ἀσώματον συγκρινόμενος, καὶ σκηναὶ τὰ κατὰ μέρος ἐν τούτῳ [............
.... ὁ μὲν γὰ]ρ
20 ἀποκαλύπτει [........] μυστήρια, ὁ δὲ λήθην λαμβάνων τῶν ὄπισθεν τοῖς ἔμπροσθεν ἐπεκτείνεται, ἕτερος δὲ ταῖς θλίψεσιν ἐμπλατύνεται, καὶ αὖθις ἄλλος περὶ τὸ σῶμα κακοπαθεῖ ταῖς τομαῖς τῶν πειρασμῶν ἐξαιματούμενος οὕτως εἰπεῖν. διὰ ταῦτα καὶ τὸν Γαλαὰδ προσίεται ὁ θεὸς καὶ τὸν Μανασσῆν
25 καὶ τὸν Ἐφραὶμ καὶ τὸν Μωάβ.

40

Τοῦ αὐτοῦ

Πόλις ἐστὶν ὀχυρά, εἰς ἣν οὐ δεδύνηται εἰσιέναι ὁ τῶν Ἀσσυρίων βασιλεὺς οὐδὲ βαλεῖν ἐπ’ αὐτὴν βέλος οὔτε μὴν θυρεὸν οὐδὲ κυκλῶσαι ἐπ’ αὐτὴν χάρακα, ἡ εἰρηνεύουσα ψυχὴ
5 ἀπὸ τῆς ἐπαναστάσεως τῶν παθῶν καὶ κατοχυρωθεῖσα ἀγγελικαῖς κύκλῳ δυνάμεσι. θαυμασίως δὲ ὁ προφητικὸς λόγος τὰς τοῦ πονηροῦ δαίμονος ὑπογράφει κατὰ τῆς ψυχῆς ἐπιχει-

10–13 cf. Psell. ibid. 34–35 || **12–13** Max. 864 C 14–15 || **14** φυσικῶν θεωρ.] cf. Psell. ibid. 36–37 || **16** Ps. 59,8 || **16–17** cf. Max. 865 A 14–B 3 || **20–21** Phil. 3,13
2 Isai. 37,26 || **2–4** ibid. 37,33

20 vel ἀποκαλύπτεται
40 l 17v–18r mg. || ined.

ρήσεις καὶ παρατάξεις. εἰ μὲν γὰρ παντάπασιν αὐτὴν εὕρῃ
ἐγκειμένην τοῖς πάθεσιν, ὅλος εἴσεισιν ἐλευθερίως· εἰ δὲ βρα-
χεῖ τῷ προτειχίσματι τῶν ἀρετῶν περιῳκοδομημένην, [....... 10
....]· εἰ δὲ ἀκριβῶς
ἐκείνη κεκάλυπται, [.....................................], ἵνα
τοξεύσῃ ἐν σκοτομήνῃ καὶ λάθῃ τὴν ἐπιχείρησιν· εἰ δὲ διὰ
πάσης ἐκείνη κατ[η]σφάλισται φυλακῆς, χάρακά τε βάλλεται
προφανῶς, τὰς πρὸς θεὸν αὐτῆς ἐξόδους ἀπείργων καὶ πει- 15
ρᾶται ταύτην κατασείειν τοῖς μηχανήμασι. καὶ ἰσχύει μὲν ὁ
ἐν ταύτῃ τῇ πόλει βασιλεύς, ὅστις ἐστὶν ὁ δυνατὸς ἐν θεῷ
νοῦς· τοῦτο γάρ ἐστιν Ἐζεκίας, ἐρρωμένως πρὸς τοὺς κινδύ-
νους ἀντικαθιστάμενος. βραχὺ δέ τι μαλακισθεὶς πρὸς τὴν
νοερὰν κινδυνεύει ζωήν, καὶ φροντίζειν περὶ τοῦ οἴκου αὐτοῦ 20
παρὰ τοῦ προφητικοῦ διατάττεται λόγου, ὅπερ ἐστὶ περὶ τῆς
σωματικωτέρας ζωῆς, ἵνα μὴ καὶ ταύτης ἀμελήσας πάντῃ
ἀπόληται. ἀλλὰ στραφεὶς αὖθις πρὸς τὸν τοῖχον, ὅστις ἐστὶν
ὁ μεσιτεύσας ἡμᾶς λόγος καὶ συνάψας τὰ διεστῶτα, προσθή-
κην ζωῆς δέχεται χρόνων πεντεκαίδεκα, ἵνα καὶ τὴν πενταδι- 25
κὴν αὖθις καθαρῶς αἴσθησιν καὶ τὴν δεκαδικὴν κτήσηται τε-
λειότητα.

41

⟨Τοῦ αὐτοῦ⟩

[...
.... μετα]πέφρασται· ἰδιώματι δὲ Ἑβραϊκοῦ χαρακ-
τῆρος αὐτούς φησι τοὺς καταδιώκοντας. τὸ γὰρ ὅλον τοιοῦ-

13 Ps. 10,2 || **18–20** Isai. 38,1 || **23** ibid. 38,2 || **24** cf. Psell. Theol. I, opusc. 59,122–123; Greg. Naz. Or. 2,23 (ll. 6–7 Bernardi); Greg. Nyss. Contra Eunom. III PG 45, 597C5 || **24–25** Isai. 38,5

41 l 18v–19r mg. || ined.

5 τόν ἐστιν· 'ἔκχεον' φησὶ 'ῥομφαίαν κατέναντι τῶν καταδιωκόντων με' καὶ σύστειλον τούτους. οἱ δὲ καταδιώκοντες τὸν θεῖον Δαυὶδ καὶ πᾶσαν ψυχὴν τοῦ εὐγενοῦς σπέρματος βασιλεύουσαν τίνες ἂν εἶεν ἕτεροι ἢ οἱ δυσμενεῖς δαίμονες; τὸ δέ γε 'ἐξ ἐναντίας' ἐμφαντικόν ἐστι τῆς θείας δυνάμεως, μὴ
10 κρύβδην μηδὲ κατὰ νώτου τῶν ἐναντίων βαλλούσης, ἀλλὰ κατὰ πρόσωπον ἀπαντώσης καὶ μόνῃ τῇ τῆς ῥομφαίας ἐπιδείξει τὴν φάλαγγα τρεπούσης τῶν ἐναντίων.

Εἰ δὲ καταδιώκοντας μὴ τοὺς δαίμονάς τις οἰηθείη, ἀλλὰ τοὺς παροικοῦντας τῷ γένει τοῦ Ἰσραὴλ ἀλλοφύλους, φημὶ
15 δὴ τοὺς Παλαιστινοὺς ἢ τὰς καταλειφθείσας αὐτοῖς τῶν ἐχθρῶν μερίδας, ἑτέρως ἑρμηνευ[τέον ....
..........................] αὐτοῖς στιλβωθῆναι τὴν θείαν ῥομφ[αίαν ....] τούτους καὶ διαιρεθῆναι. 'ἔκχεον' γάρ φησι 'τὴν ῥομφαίαν καὶ σύγκλεισον', ὅπερ ἐστί,
20 δεῖξον αὐτοῖς ἣν περιέζωσαι κατὰ τῶν ἀπειθούντων τῷ νόμῳ σου μάχαιραν καὶ παραγύμνωσόν τι τοῦ ξίφους αὐτοῖς, εἶτα δὴ ὥσπερ ἐν ξιφοθήκῃ τὴν τοῦ σιδήρου ἀκμὴν σύγκλεισον, ἵνα τῇ ἀπειλῇ μόνῃ παιδαγωγηθέντες τῆς κρείττονος ἕξεως γένωνται. τὸ δὲ 'ἐξ ἐναντίας τῶν καταδιωκόντων' τὸ προῦπ-
25 τον ἐμφαίνει τῆς ἀπειλῆς.

Οὐκ ἀπεικότως δέ τις καὶ τὸν ὑπὲρ ἡμῶν ἐνανθρωπήσαντα λόγον ῥομφαίαν ἐρεῖ, ἣν 'ἐκχεθῆναι' παρὰ τοῦ πατρὸς ὁ προφήτης ἐπεύχεται 'ἐξ ἐναντίας τῶν καταδιωκόντων ἡμᾶς'. πρὸ μὲν γὰρ τῆς οἰκονομίας ἐν μερικοῖς εἴδεσιν ὁ λόγος ὠπτά-
30 νετο, ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν ἐτῶν, ὅλος ἐκκέχυται, κατ' οὐσίαν γενόμενος ἄνθρωπος.

5–6 Ps. 34,3 || **17–18** cf. Ps. 7,13 || **30** cf. Gal. 4,4

15 παλαιστηνοὺς 1

42

⟨Τοῦ αὐτοῦ⟩

[..]
έτω σου τῆς διανοίας [.........] τ[ὸν] τρόπον. καί φημι ὡς
τοῖς τοιούτοις οὐχ ὁ θεὸς τὴν ἡγεμονίαν ἔδωκεν, ἀλλ' ἡ τῶν
ἀρχομένων πονηρία τὴν τούτων ἀρχὴν ἐπεσπάσατο. ὄνησιν 5
γὰρ οὐδεμίαν παρὰ τῶν καλῶς ἡγησαμένων ἑλκύσαι θελή-
σαντες, ἀλλὰ τῇ μοχθηρίᾳ τοῦ τρόπου τὴν ἐκείνων διδασκα-
λίαν ἐξυβρίσαντες τῆς θείας ἐπιμελείας ἑαυτοὺς ἀπεστέρη-
σαν, εἶτα τῆς θείας γυμνωθέντες οἰκονομίας τῶν τοιούτων
ἡγουμένων ἀπήλαυσαν· πάτταλοι γὰρ παττάλοις ἐκκρούον- 10
ται. δώσω γάρ, φησίν, ἄρχοντας κατὰ τὰς καρδίας αὐτῶν,
ἵνα τῇ πείρᾳ τῶν χειρόνων εἰς μνήμην ἔλθωσι τῶν κρειττόνων
καὶ τῆς καλῆς καὶ ἀγαθῆς ἐκείνων ἀναμνησθῶσι παιδαγω-
γίας. εὑρίσκομεν δὲ τὸν θεὸν δι' ὑπερβολὴν πονηρίας ἀνθρώ-
πων τὰς ἡνίας ἐῶντα πολλάκις καὶ φέρεσθαι τῶν ἀνθρώπων 15
ὡς ἂν ἐθέλῃ συγχωροῦντα τὸ γένος. καὶ τοῦτο ἡμᾶς αὐτὸς
διὰ Ζαχαρίου διδάσκων πρὸς τὸν Ἰσραὴλ ἔλεγεν· 'καὶ εἶπον,
οὐ ποιμα[νῶ ὑμᾶς· τὸ ἀποθνῆσκον ἀποθνῃσκέτω καὶ τὸ
ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ] κατάλοιπα ἐσθιέτωσαν ἕκαστος
τὰς σάρκας τοῦ πλησίον αὐτοῦ.' 20

10–11 CPG I 253; II 116,9–10; 171,15–16 || **11** Ierem. 3,15 || **17–20** Zach. 11,9

42 **1** 19v–20r mg. || ined. || **16** ἐθέλ( ) **1** || **18–19** unus versus abscissus in **1**

43

⟨Τοῦ Ψελλοῦ⟩

[..] τὸ βιβλίον
[...................................] χωρῆσαι δυνήσεται·
'καθ' ἕν' δὲ συντιθέμενα ἀχώρητα ἔσται. τί δὲ τοῦτό ἐστιν,
5 ἄκουσον. τὰ πολλὰ τῆς οἰκονομίας μυστήρια εἰς ἓν τοῦτο
συντείνει τοῖς ὑψηλοτέροις τὴν ἔννοιαν, φημὶ δὴ τὸν λόγον
τῆς ἀπορρήτου συγκαταβάσεως, ὃς δὴ ἀχώρητός ἐστι τῷ
κόσμῳ παντί, τῷ τε αἰσθητῷ καὶ τῷ νοητῷ. τὴν γὰρ ἀκριβῆ
τῆς ἐνανθρωπήσεως γνῶσιν οὐδέπω οὐδὲ τὰ σεραφὶμ διεγνώ-
10 κασι. διὰ τοῦτο ταῦτα μὲν ἢ ἐκεῖνα τῶν παρὰ τοῦ σωματω-
θέντος λόγου γεγενημένων διῃρημένως νοούμενα χωρητά τι-
σιν ἴσως εἰσίν, εἰς ἓν δὲ πάντα συναγόμενα, λέγω δὴ τὴν τοῦ
μυστηρίου κατάληψιν, ἀχώρητά εἰσι τῷ σύμπαντι κόσμῳ.

44

Τοῦ αὐτοῦ

Τὸ ἐστρωμένον ἀνώγεων, ἐφ' ᾧ τελεῖ τὸ ἱερὸν πάσχα ὁ κύ-
ριος, ὁ θεοειδής ἐστι νοῦς ἐν μετεώρῳ τῆς ψυχῆς κείμενος
καὶ οἷά τισι πολυμόρφοις πλαξὶ [..............................
5 ....] ἀναβαίνει [..................................

2–4 cf. Ioann. 21,25
2–3 Marc. 14,12–16; Luc. 22,7–13 || **4** πολυμόρφοις πλαξὶ] cf. Psell. Theol. I, opusc. 1,84–85; 98 sqq.; Max. Conf. Qu. ad Thal. 3,56–59

43 **l** 20ᵛ mg. || ined. || **2** initium fort. (sec. catalogum Spyridon-Eustratiades) erat Μὴ θαυμάσῃς ἀκούων οὐ δύναται ὁ κόσμος χωρῆσαι τὰ γραφόμενα τοῦ λόγου βιβλία ἐὰν καθ' ἓν γράφηται || **12** ἐιστίν (sic) **l**
44 **l** 20ᵛ–21ᵛ mg. || ined.

..........] καὶ κίρνησιν εἰς κρατῆρα τὸν πνευματικὸν οἶνον. ὥσπερ γὰρ 'εἰς κακότεχνον ψυχὴν' οὐκ εἴσεισιν ὁ θεός, οὕτως οὐδὲ εἰς ἀνέτοιμον νοῦν· διὰ τοῦτο τὸ ὑψηλὸν ἐκεῖνο κατέστρωται οἴκημα καὶ ποικιλώτερον ηὐτρέπισται, ἵνα πολυτελῶς βασιλέως ὑποδέξηται παρουσίαν. 10

Ἡ δέ γε πόλις, πρὸς ἣν οἱ κορυφαῖοι τῶν μαθητῶν Πέτρος καὶ Ἰωάννης παρὰ τοῦ λόγου ἐκπέμπονται, ἡ τοῦ καθ' ἕκαστόν ἐστι ψυχή, 'ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός', καὶ ἧς μόνος ἐκεῖνος τὴν πολιαρχίαν πεπίστευται, ὑπερκείμενος μὲν πάσης ἀρχῆς, ὥσπερ δὲ 'ὑπήκοος μέχρι θανάτου γενόμενος' 15 τῷ πατρί, οὕτω καὶ τὰς νοερὰς ἐγκεχειρισμένος διοικήσεις τῶν ἀΰλων πόλεων.

Καὶ ἡ δυὰς δὲ τῶν μαθητῶν ἐξακριβοῦται, δι' ὧν ἡ πόλις κοσμεῖσθαι εἴωθεν. ὁ μὲν γὰρ Πέτρος [........................
.... ὁ υἱὸς] τῆς βροντῆς. 20

Καὶ ὁ τὸ τοῦ ὕδατος {τὸ} κεράμιον ἐπὶ τῶν ὤμων ἀνέχων οὐκ ἀσύμβολος πρὸς ἀλληγορίαν ἐστί. τὸ μὲν γὰρ ὕδωρ χαρακτήρ ἐστι τοῦ βαπτίσματος, τὸ δέ γε πεπλασμένον κεράμιον τῆς σωματικῆς νεκρώσεως, ὁ δὲ ὦμος, ἐφ' οὗ ταῦτα, τὸ τῆς ἐγκρατείας γνωρίζει φερέπονον. ὁ τοίνυν διὰ τῆς τοιαύ- 25 της ἀρετῆς τὴν τοῦ λουτροῦ χάριν ἀταπείνωτον ὑψοῦ φέρων ἐν τῇ νεκρώσει τοῦ σώματος, οὗτός ἐστιν ὁ τὸ κεράμιον βαστάζων τοῦ ὕδατος.

7 Sap. 1,4 || **11–13** cf. Psell. op. cit. 50; Max. op. cit. 50–51 || **13** Hebr. 11,10 || **15** Phil. 2,8 || **19–20** cf. Psell. op. cit. 58–62 || **20** Marc. 3,17 || **24** σωματικῆς νεκρώσεως] cf. Max. op. cit. 28–29 || **25–28** cf. ibid. 53–56

9 ποικιλλώτερον **l** || **14** πολυαρχίαν l: corr. Wk. || **24** ὁ δὲ] fort. καὶ (comp.) l

45

[Τοῦ Ψε]λλοῦ

Μ[...΄]αν τις κατ[....]ειν [..............................] ἡ τοῦ εὐαγγελιστοῦ Ἰωάννου φωνὴ ἡ λέγουσα 'πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν ποιεῖν οὐ δύναται, ὅτι σπέρμα 5 αὐτοῦ ἐν αὐτῷ ἐστι', συλλογιζόμενος ὡς ὁ ἀναγεννώμενος τῷ βαπτίσματι τῆς πρὸς τὸ ἁμαρτάνειν δυνάμεως ἠλευθέρωται, ἔπειτα εὑρίσκων τὸ πρᾶγμα ἀκριβῶς ἐψευσμένον τοῖς βαπτισθεῖσι μέν, ἁμαρτάνουσι δέ.

Οὐχ ἅπαξ γάρ, ἀλλὰ πολλάκις γεννώμεθα ἢ ἀναγεννώ-10 μεθα τῷ θεῷ· καὶ τῶν τοιούτων γεννήσεων ἢ ἀναγεννήσεων ἡ μέν τις δύναμιν τῆς ἀναμαρτησίας καὶ ἐπιτηδειότητα δίδωσιν, οἵα τίς ἐστιν ἡ τοῦ βαπτίσματος τελετή, ἡ δὲ κατ' ἐνέργειαν υἱοθετοῦσα ἡμᾶς τῷ θεῷ διὰ τῆς ὠδῖνος τῶν ἀρετῶν καὶ τῆς ἐν πνεύματι τελειώσεως ἀναμαρτήτους εἰς τὸ μέλλον 15 παρέχεται· περὶ ἧς δὴ γεννήσεως καὶ ὁ θεολόγος Ἰωάννης ἀσφαλῶς εἰρηκὼς τὸ μηκέτι ἁμαρτάνειν τοὺς ἐντεῦθεν γεννωμένους ἀνεπισφαλῶς ἀπεφήνατο. ἀλλ' οὐδὲ ἑκάστη τῶν ἀρετῶν τὴν χάριν τῆς ἀπαθοῦς ζωῆς προξενεῖ, ἀλλ' ἢ μόνον ἡ τὴν ψυχὴν ἡμῶν πάντῃ τῶν ἐντεῦθεν ἀναπτερώσασα καὶ 20 πρὸς θεὸν καταπαύσασα, οὗ μὴ ἔστιν ὄφις ἐπιβουλεύων μηδὲ λανθάνουσα τοὺς πολλοὺς ὑπόκρισις μηδ' ἄλλο τι τῶν ἐνεδρευόντων ἡμῖν καὶ τῆς θεοειδεστάτης ἀπάγον ζωῆς.

Τὸ δὲ τοῦ θεοῦ σπέρμα, οὗ μετείληφεν ὁ τετυχηκὼς τῆς τοιαύτης γεννήσεως ἡ τοῦ πνεύματος ἐνεργητικὴ τῆς ἐκθεώ-25 σεως χάρις ἐστί, συμπαραμένουσα τῷ υἱοθετηθέντι καὶ ἀεὶ τελειοῦσα καὶ πρὸς κρείττονα τῶν κρειττόνων ἀντίληψιν ὑπανάπτουσα. οὐ γὰρ ἀφίσταται τοῦ κεκαθαρμένου νοὸς τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' οἷον σπορά τις αὐτῷ γίνεται παντὸς ἀγαθοῦ καὶ πρὸς τὸν τῆς ἀρετῆς τόκον ἀκριβὴς ἀφορμή.

3–5 1 Ioann. 3,9 ‖ **11–15** cf. Max. Conf. Qu. ad Thal. 6,8–16

45 1 155r mg. ‖ ined. ‖ **2** Ματαίαν proponit Papaioannou ‖ **12** οἷά 1

INITIA

INDEX AVCTORVM

Sacra Scriptura

INDEX NOMINVM

INDEX VERBORVM

BIBLIOTHECA TEVBNERIANA

PLVTARCHVS, Moralia

Vol. I.

De liberis educandis · De audiendis poetis · De audiendo · De adulatore et amico · De profectibus in virtute · De capienda ex inimicis utilitate · De amicorum multitudine · De fortuna · De virtute et vitio · Consolatio ad Apollonium · De tuenda sanitate praecepta · Coniugalia praecepta · Septem sapientium convivium · De superstitione

Vol. II.

Regum et imperatorum apophthegmata · Apophthegmata Laconica · Instituta Laconica · Apophthegmata Lacaenarum Mulierum virtutes · Aetia Romana · Aetia Graeca · Parallela minora · De fortuna Romanorum · De Alexandri Magni fortuna aut virtute oratio I et II · De gloria Atheniensium · De Iside et Osiride

Vol. III.

De E apud Delphos · De Pythiae oraculis · De defectu oraculorum · An virtus doceri possit · De virtute morali · De cohibenda ira · De tranquillitate animi · De fraterno amore · De amore prolis · An vitiositas ad infelicitatem sufficiat · Animine an corporis affectiones sint peiores · De garrulitate · De curiositate · De cupiditate divitiarum · De vitioso pudore · De invidia et odio · De laude ipsius · De sera numinis vindicta · De fato · De genio Socratis · De exilio · Consolatio ad uxorem

Vol. IV.

Quaestionum convivalium libri IX · Amatorius · Amatoriae narrationes

Vol. V. Fasc. 1.

Maxime cum principibus philosopho esse disserendum · Ad principem ineruditum · An seni sit gerenda res publica · Praecepta gerendae rei publicae · De tribus rei publicae generibus · De vitando aere alieno

Vol. V. Fasc. 2. Pars 1.

Vitae X oratorum · Placita philosophorum

Vol. V. Fasc. 2. Pars 2.

De comparatione Aristophanis et Menandri · De Herodoti malignitate

Vol. V. Fasc. 3.

Aetia physica · De facie in orbe lunae · De primo frigido

Vol. VI. Fasc. 1.

Aqua an ignis utilior · De sollertia animalium · Bruta ratione uti · De esu carnium I · De esu carnium II · Platonicae quaestiones · De animae procreatione in Timaeo · Epitome libri de animae procreatione in Timaeo

Vol. VI. Fasc. 2.

Libri contra Stoicos et contra Epicureos scripti

Vol. VI. Fasc. 3.

De musica · De libidine et aegritudine · Parsne an facultas animi sit vita passiva

Vol. VII.

Fragmenta



K · G · SAUR MÜNCHEN · LEIPZIG